νιὴλ, Ζαχαρίαν(¹), εἰς τοὺς Ψαλμούς, τὰς Παροιμίας [*], τὸν Ἐκκλησιαστήν, καὶ εἰς τὸ Ἆσμα

(¹) Ὁ Ἱερώνυμος (de vir. illustr. c. 61. in cap. IX. Danielis), ὁ Φώτιος (ἀνάγν. σϐ'. καὶ σγ'.), καὶ Γεώργιος ὁ Σύγκελλος (ἐν χρονογρ. σελ. 358) μαρτυροῦσιν, ὅτι ἀνέγνωσαν τὴν ἑρμηνείαν τοῦ Ἱππολύτου εἰς τὸν Δανιήλ. Τὰ διασωθέντα τεμάχια τῆς ἑρμηνείας ταύτης ἐξεδόθησαν ὑπὸ τοῦ Φαϐρικίου (T. I. p. 272. II.) ὑπὸ τοῦ Σίμωνος (Simo de Magistris. Daniel secundum Saptuaginta ex codice chisiano, Romæ 1772, in folio, pag. 95), ὑπὸ τοῦ Βανδίνη (Catal. bibl. Med. T. I. pag. 24), ὑπὸ τοῦ Μαΐου (Script. vet. collect, nov. T. I, III, ed. 1831, pag. 29-56, passim), ὑπὸ τοῦ Κραμέρου (Cat. in. ep. Cathol. et Apncalypsin, Oxon. 1840), καὶ ὑπὸ τοῦ Μιγνίου (Patrolog. T. X. p. 634-698). Ἡ πλήρης ἑρμηνεία κεῖται ἐν τοῖς χειρογράφοις τοῦ Βατικανοῦ (Μάϊος). Ἐν τῇ ἑρμηνείᾳ ταύτῃ ἀπεδείκνυ τὸ γνήσιον τῆς Ἀποκαλύψεως, ὡς γράφει ὁ Οἰκουμένιος παρὰ τῷ Μοντφωκονίῳ (bibl. Coislin. P. 275-278) καὶ Κραμέρῳ (I. c.). Ἐκ τῆς ἑρμηνείας εἰς τὸν Ἡσαΐαν λή. 5,7, 8. παρὰ Φαϐρικίῳ καὶ Μιγνίῳ. Πλήρης ἑρμηνεία εἰς τὸν Ἡσαΐαν ἐν τῇ βιϐλιοθ. τῶν Παρισίων κώδ. 155, 157. Ἡ ἑρμηνεία εἰς τὸν Ἰεζεκιὴλ καὶ εἰς τὸν Ζαχαρίαν ἀπωλέσθησαν. Τὰ πονήματα ταῦτα ἐγίνωσκον ὁ Ἱερώνυμος (de vir. illustr. c. 61.), ὁ Εὐσέϐιος (ἐκκλ. ἱστορ. ς'. 22) καὶ ὁ Θεοδώρητος (Διάλ. Α. σελ. 35).

[*] Τὰ μάλιστα ἀξιοσημείωτόν ἐστι τεμάχιόν τι ἐκ τῆς ἑρμηνείας εἰς τὰς Παροιμίας, ἐνῷ ὁ Θεῖος Πατὴρ λέγει περὶ τοῦ ἁγιωτάτου μυστηρίου τῆς Εὐχαριστίας τάδε: «.... *καὶ ἡτοίμασεν τὴν ἑαυτῆς τράπεζαν*, τὴν ἐπίγνωσιν τῆς ἁγίας Τριάδος κατεπαγγελλομένην· καὶ τὸ τίμιον καὶ ἄχραντον αὐτοῦ σῶμα καὶ αἷμα, ἅπερ ἐν τῇ μυστικῇ καὶ Θείᾳ τραπέζῃ καθ' ἑκάστην ἐπιτελοῦνται θυόμενα εἰς ἀνάμνησιν τῆς ἀειμνήστου καὶ πρώτης ἐκείνης τραπέζης τοῦ μυστικοῦ θείου δείπνου. Τὸ δέ, *ἀπέστειλε τοὺς ἑαυτῆς δούλους ἡ Σοφία*, ὁ Χριστὸς δηλονότι, *συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρὸς μέ*, φάσκουσα, τοὺς ἱεροὺς Ἀποστόλους πρόδηλον, τοὺς εἰς τὸν σύμπαντα κόσμον διαδραμόντας καὶ προσκαλέσαντας τὰ ἔθνη εἰς τὴν ἐκείνου ἐπίγνωσιν ἀληθῶς τῷ ὑψηλῷ καὶ θείῳ τούτων κηρύγματι. Τὸ δὲ *καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπε*, τοῖς μήπω κεκτημένοις τὴν τοῦ ἁγίου Πνεύματος δύναμιν δηλονότι: *ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν*, τὴν θείαν αὐτοῦ σάρκα καὶ τὸ τίμιον αὐτοῦ αἷμα δέδωκεν ἡμῖν φησίν, ἐσθίειν καὶ πίνειν εἰς ἄφεσιν ἁμαρτιῶν». Σ. Μ.

τῶν Ἀσμάτων (1), εἰς τὰ Εὐαγγέλια τοῦ Ματθαίου, τοῦ Λουκᾶ, καὶ τοῦ Ἰωάννου (2).

Ἐν τῇ ἑρμηνείᾳ εἰς τὴν ἑξαήμερον ὁ ἅγιος Ἱππόλυτος ἔγραφε (ἐν τῷ ς΄. στίχῳ): «Τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐποίησεν ὁ Θεός, ὅσα ἐποίησεν, ἐκ μὴ ὄντων. Ταῖς δὲ ἄλλαις οὐκ ἐκ μὴ ὄντων, ἀλλ᾽ ἐξ ὧν ἐποίησε τῇ πρώτῃ ἡμέρᾳ, μετέβαλεν, ὡς ἠθέλησεν.» Ἐν τῷ τέλει τοῦ ζ΄. στίχου ἀνέγνω τὰς λέξεις: καὶ ἐγένετο οὕτως, αἳ οὐκ εἰσιν ἐν τῇ μεταφράσει τῶν Ο, ἀλλ᾽ ἐν τῷ ἑβραϊκῷ πρωτοτύπῳ. Ἐπὶ πᾶσιν ὅμως, ἑρμηνεύων τὴν Παλαιὰν Διαθήκην, ἠκολούθει τῷ κειμένῳ τῶν Ο [α].

Ἐπειδὴ ἡ ψυχὴ τοῦ ἁγίου Ἱππολύτου ἔζη ἐν τῇ εἰς τὸν Κύριον Ἰησοῦν πίστει, ἡ κυρία αὐτοῦ ἔννοια ἐν ἑκάστῳ βιβλίῳ τῆς ἁγίας Γραφῆς ἦν ἡ περὶ τοῦ Κυρίου Ἰησοῦ. Ὁ Φώτιος λέγει περὶ τῆς ἑρμηνείας αὐτοῦ εἰς τὸ βιβλίον τοῦ προφήτου Δανιήλ: «κατὰ λέξιν

---

(1) Τὰ τεμάχια ἐκ τῶν ἑρμηνειῶν εἰς τοὺς *Ψαλμοὺς* ἐξέδωκεν ὁ Φαβρίκιος, ἐρανισάμενος αὐτὰ ἐκ τῶν συγγραμμάτων τοῦ Θεοδωρήτου (I. 127 s.) καὶ ὁ Βανδίνης (catal. codd. gr. bibl. Medico-Laurentianæ, T. I. p. 91.), εἰς τὰς *Παροιμίας* (κεφ. ά. 1-2, θ΄. 1.) ὁ Μίγνιος (T. X. 615-628-711). Ὁ αὐτὸς ἐξέδωκε τεμάχιον ἑρμηνείας εἰς τὸ *Ἆσμα τῶν Ἀσμάτων* (p. 627-630). Ὁ Εὐσέβιος (ς΄. 22), ὁ Ἱερώνυμος (de vir. illustr. c. 61) καὶ Ἀναστάσιος ὁ Σιναΐτης (ἐρωτ. 16-41) ἀνέγνωσαν τὰς εἰς ἅπαντα ταῦτα τὰ βιβλία ἑρμηνείας.

(2) Ὁ Φρόμμαν ἐτύπωσε χωρία τινὰ ἐκ τῶν ἑρμηνειῶν τοῦ Ἱππολύτου εἰς τὰ *Εὐαγγέλια* (Interpr. N. Test. ex Hippolyto Collect. Coburgi 1765). Ἡ εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου ἑρμηνεία ἦν γνωστὴ τῷ Ἱερωνύμῳ: «Legisse, λέγει, me fateor ante annos plurimos in Matthæum . . . . . Hippolyti martyris opuscula . . . . . e quibus etiamsi pauca carperem, dignum aliquid memoria sriperetur». Præfat. in Matth. Τῷ αὐτῷ Ἱερωνύμῳ καὶ τῷ ὁσίῳ Ἐφραὶμ τῷ Σύρῳ ἦν γνωστὴ ἡ ἑρμηνεία τοῦ ἁγίου Ἱππολύτου εἰς τὴν *Ἀποκάλυψιν* (Opp. Syr. T. I. pag. 192). Χωρία ἐκ τῆς ἑρμηνείας ταύτης ἀναφέρει Ἄραψ τις ἑρμηνευτὴς τῆς Ἀποκαλύψεως (ἰδ. Ewald. üb. e. ungedruckten arab. commentar, d. Johann. Apocalypsis Abhandl. üb. orient. und bibl. Litteratur. I. th. Göttingen 1832).

[α] Ἰδ. Κ. Οἰκον. περὶ τῶν Ο, ἑρμην. Τομ. Δ΄. σελ. 440—442. Σ. Μ.

μὲν οὐ ποιεῖται τὴν ἀνάπτυξιν, πλὴν τοῦ νοῦ γε, ὡς ἔπος εἰπεῖν, οὐ παρατρέχει». Τὴν κρίσιν ταύτην ἀνενεκτέον εἰς τὰς ἑρμηνείας τοῦ Ἱππολύτου καὶ εἰς τὰ ἄλλα βιβλία τῆς Παλαιᾶς Διαθήκης. Οὐδένα δὲ λανθάνει, ὅτι ἡ ἑρμηνεία τοῦ ἁγίου Ἱππολύτου ἐστὶ τὸ πρῶτον δοκίμιον ἑρμηνείας ἐν τῇ χριστιανικῇ Ἐκκλησίᾳ.

Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Ἱππολύτου εἰσὶ γνωστὰ συγγράμματα μὴ ἀνήκοντα εἰς αὐτόν. Τοιοῦτον, παραδείγματος χάριν, τὸ σύγγραμμα περὶ συντελείας κόσμου καὶ περὶ τοῦ Ἀντιχρίστου,—οὔτε κατὰ τὴν φράσιν, οὔτε κατὰ τὴν ὑπόθεσιν ὁμοιάζον τοῖς συγγράμμασι τοῦ ἁγίου Ἱππολύτου. Ἡ ἑλληνικὴ αὐτοῦ γλῶσσά ἐστι διεφθαρμένη ἀμαθοῦς γλῶσσα, αἱ ἔννοιαί εἰσιν ἐκ διαμέτρου ἀντίθετοι πρὸς τὰς ἐν τῷ γνησίῳ αὐτοῦ συγγράμματι περὶ Ἀντιχρίστου, π. χ. ὅτι ὁ Ἀντίχριστος ἔσται οὐκ ἄνθρωπος, ἀλλὰ διάβολος, ἢ ὅτι αἱ ψυχαὶ τῶν ἀνθρώπων ὑπάρχουσιν ἀπὸ τῆς αἰωνιότητος. Τὸ σύγγραμμα τοῦτό ἐστι γνωστὸν καὶ ἐν τῇ Σλαβικῇ μεταφράσει, κατ᾽ ἀπόγραφα πάνυ ἀρχαῖα, ἀλλ᾽ οὐδόλως ἦν ἄξιον μεταφράσεως. Εἰς τὴν αὐτὴν κατηγορίαν ὑπάγεται ἡ γενεαλογία τῆς παρθένου Μαρίας καὶ τοῦ Ἰωσήφ, γνωστὴ Νικηφόρῳ τῷ Καλλίστῳ, ἀλλ᾽ οὐδενὶ τῶν ἀρχαίων συγγραφέων. Τῷ ἁγίῳ Ἱππολύτῳ ἀποδίδονται προσέτι πραγματεῖαι περὶ τῶν δώδεκα Ἀποστόλων καὶ τῶν Ο, μαθητῶν τοῦ Χριστοῦ. Ἐν τοῖς τελευταίοις μνημονεύονταί τινες, ἐπιστραφέντες εἰς τὴν πίστιν ὑπὸ τῶν Ἀποστόλων καὶ μὴ ἰδόντες τὸν Κύριον Ἰησοῦν· Οὐδείς τῶν ἀρχαίων ἐμνημόνευσε τῶν πραγματειῶν τούτων ὑπὸ τὸ ὄνομα τοῦ Ἱππολύτου. Ἐντεῦθεν ἡ γνησιότης αὐτῶν ἐστιν ἀμφίβολος (¹).

§ 57 *Ὁ ἅγιος Κυπριανός· βίος αὐτοῦ.*

Ὁ Θάσκιος Καικίλιος Κυπριανός, υἱὸς πλουσίου γερουσιαστοῦ (²), θερμὸς ἐραστὴς τῶν ἐπιστημῶν (³), διαπρεπὴς ῥή-

(¹) Τὸ σύγγραμμα τοῦτο ἐξεδόθη ὑπὸ τοῦ Κομβεφισίου in Auctario T. II. Paris. 1648.

(²) Prudent. de coron. hymn. XIII.

(³) Ὁ ἅγιος Γρηγόριος ὁ Ναζιαν-

τωρ (¹), μέχρι τοῦ τεσσαρακοστοῦ ἔτους τῆς ἡλικίας αὐτοῦ τρυφηλὸς ἐθνικός, τῷ σμς΄. σωτηρίῳ ἔτει, κατὰ προτροπὴν τοῦ πρεσβυ-

---

ζηνὸς ἐν τῷ πανηγυρικῷ αὐτοῦ λόγῳ εἰς τὸν ἅγιον ἱερομάρτυρα Κυπριανὸν τὸν Καρχηδόνος, καὶ ἡ βασιλὶς Εὐδοκία ἐν τοῖς ποιήμασιν αὐτῆς (Φώτ. ἀναγν. ρπδ΄.), λέγουσιν, ὅτι ὁ Κυπριανὸς πρὸ τῆς εἰς Χριστὸν ἐπιστροφῆς ἠσχολεῖτο περὶ τὴν μαγείαν, καὶ ὅτι αἱ ἀνωφελεῖς ἀπόπειραι τῆς μαγείας ἐπὶ τῆς ὁμολογητρίας τοῦ Χριστοῦ Ἰουστίνης, καταστρεψάσης τὰς φιάλας αὐτοῦ τῷ σημείῳ τοῦ σταυροῦ, ἠνάγκασαν αὐτὸν καῦσαι τὰ βιβλία αὐτοῦ. Ἡ σιωπὴ τοῦ Διακόνου Ποντίου περὶ τούτων ἔδωκεν ἀφορμὴν τῷ Βαρωνίῳ καὶ ἄλλοις ὑποστηρίξαι, ὅτι ἐν τῇ διηγήσει ταύτῃ συγχέονται δύο πρόσωπα—Κυπριανὸς ὁ Καρθαγένης καὶ Κυπριανὸς ὁ Ἀντιοχείας. Ἀλλὰ α) ὁ Εὐσέβιος οὐ ἐγίνωσκεν οὔτε ἐν Νικομηδείᾳ οὔτε ἐν Ἀντιοχείᾳ ἐπίσκοπον Κυπριανόν, ὡς καὶ οὐδεὶς τῶν ἀρχαίων β) ὁ Πόντιος λέγει: «fuerint licet studia et bonæ artes devotum pectus imbuerint, tamen illa praetereo; nondum enim ad utilitatem, nisi sæculi, pertinebant, δηλ. οὐ βουλόμενος εἰπεῖν περὶ τῶν ἀσχολιῶν τοῦ ἐθνικοῦ, διακρίνει ἐν τοῖς ἀντικειμένοις τῶν ἀσχολιῶν studia et bonas artes=*ἐπιστήμας καὶ ὡραίας τέχνας*. Ἐν τῷ ἀριθμῷ τῶν ἐπιστημῶν ἦν τότε καὶ ἡ μαγεία—ἐπιστήμη τῶν μυστικῶν δυνάμεων τῆς φύσεως. Ὅπως δὲ καὶ ἂν ἔχῃ τὰ περὶ τούτου, ἡ σιωπὴ τοῦ Ποντίου οὐδένα παρέχει ἡμῖν λόγον πρὸς παραδοχὴν δύο Κυπριανῶν καὶ ἀπόρρηψιν τῆς διηγήσεως τοῦ ἁγίου Γρηγορίου· γ) τὰ ἄλλα περιστατικὰ τοῦ Κυπριανοῦ τῆς Καρχηδόνος—ὁ πλοῦτος, τὸ ἐπίσημον τοῦ γένους καὶ τοῦ ἀξιώματος, τὸ μαρτυρικὸν τέλος, περιγράφονται ὑπὸ τοῦ ἁγίου Γρηγορίου, τοῦ Προυδεντίου, καὶ τῆς Εὐδοκίας ἀπαραλλάκτως ὡς ἐκτίθενται παρὰ τῷ Ποντίῳ καὶ ἐν ἄλλοις μνημίοις τῆς ἀρχαιότητος.

(¹) Lactant. instit. divin. I. V. c. I. «Unus igitur præcipuus et clarus extitit Cyprianus, qui et magnam sibi gloriam ex artis oratoriæ professione quaesierat, et admodum multa conscripsit in signere miranda». Hieron de vir illustr. C. 67: «Cyprianus Afer primum gloriose rhetoricam docuit». [Ἐκ τῆς συνηθείας, καθ' ἣν ἐν τῇ ἀρχαιότητι οἱ διδάσκαλοι τῆς ῥητορικῆς ἦσαν καὶ συνήγοροι, καὶ ἐκ τοῦ λεκτικοῦ ἐπιστολῶν τινων τοῦ ἁγίου Κυπριανοῦ τινὲς συμπεραίνουσιν, ὅτι ὁ ἱερὸς Κυπριανὸς ἐχρῆτο τῷ δώρῳ τοῦ λόγου ὑπὲρ τῶν ἀθώων ἐν τοῖς δικαστηρίοις. Τὴν ἑλληνικὴν

τέρου Καικιλίου, ἐδέξατο τὸ βάπτισμα [α], μεταβαλὼν σὺν τῷ φρονήματι καὶ τὴν τοῦ βίου πολιτείαν. Αὐστηρὸς γενόμενος ἀσκητής, τὸν πλοῦτον, ὃν πρότερον ἐξέχεεν εἰς τὰς ἡδονὰς αὐτοῦ, διένεμε νῦν τοῖς πτωχοῖς, ἐπιδιδόμενος ἅμα ταῖς προσευχαῖς καὶ τῇ μελέτῃ τῆς Ἁγίας Γραφῆς. Οὕτω γράφει αὐτός, ἀποδιδοὺς τὴν γενομένην ἐν ἑαυτῷ θαυμαστὴν ἀλλοίωσιν τῇ σωστικῇ τοῦ ἁγίου Βαπτίσματος δυνάμει (1). Ὁ ζῆλος αὐτοῦ πρὸς τὴν πίστιν καὶ τὸν χριστιανικὸν βίον εἵλκυσε ταχέως ἐπ' αὐτὸν τὴν προσοχὴν τοῦ τε κλήρου καὶ τοῦ λαοῦ. Οὐ πολὺν χρόνον μετὰ τὸ βάπτισμα προὐχειρίσθη πρεσβύτερος (2) [β]. Καρπὸς ψυχῆς οὐ πρὸ πολλοῦ, ἀλλὰ βαθέως

γλῶσσαν ἐγίνωσκεν ἄριστα. Ἐντεῦθεν, γενόμενος χριστιανός, οὐκ ἐχρῆτο τῇ λατινικῇ μεταφράσει τῆς ἁγ. Γραφῆς, ἀλλὰ τῷ ἑλληνικῷ κειμένῳ, καὶ ἀείποτε, καθάπερ καὶ ὁ Τερτυλλιανός, ἀνέφερε τὰ Εὐαγγέλια ὑπὸ ἑλληνικὴν ἐπιγραφήν, π. χ. κατὰ **Matthæum** κ. τ. λ. Σ. Μ.]

[α] Ὁ σεβάσμιος Καικίλιος μετὰ βαθυτάτης λύπης ἑώρα τὸν φίλον αὐτοῦ Κυπριανὸν ὄντα ἐν τῷ σκότει τῆς εἰδωλολατρείας. Ἐδήλωσεν αὐτῷ τὰς πλάνας τοῦ ἐθνισμοῦ, καὶ ἐξέθηκε δεόντως τήν τε ἁγιότητα καὶ τὸ ὕψος τῆς ὑπὸ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποκαλυφθείσης θρησκείας. Ἡ ἁγιότης τοῦ βίου αὐτοῦ ἐβεβαίου τὴν ἀλήθειαν τῶν λόγων αὐτοῦ, καὶ ὁ Κυπριανός, ὃς περιπαθῶς ἠγάπα τὴν ἀλήθειαν, ἔγνω δέξασθαι τὸν χριστιανισμόν. Περιχαρὴς γενόμενος ἐπὶ τούτῳ ὁ Καικίλιος, ἀνέλαβε τὸ καθῆκον τοῦ διδάξαι αὐτὸν τὰς πρώτας ἀληθείας τοῦ χριστιανισμοῦ. Εὐγνωμονῶν δὲ ἐπὶ τούτῳ ὁ Κυπριανός, ἐδέξατο τὸ ὄνομα αὐτοῦ (ἐπ. πρὸς Φλωρεντῖνον), ἠγάπα καὶ ἐσέβετο ὡς πατέρα, καὶ μετὰ τὸν θάνατον αὐτοῦ ἐμερίμνα περὶ τῆς οἰκογενείας αὐτοῦ (**pont. in vit. Cypriani**) Σ. Μ.

(1) **Ep. ad Donatum.**

(2) Εὐσέβ. καὶ Ἱερών.

[β] Πάντες εἶδον, λέγει ὁ Πόντιος, ὅτι αἱ πρόοδοι τοῦ Κυπριανοῦ ἐν τῷ πνευματικῷ βίῳ οὐκ ἦσαν συνήθεις, διὸ οὐδεὶς ἡγήσατο ἀναγκαῖον ὑποβαλεῖν αὐτὸν τῇ παραδεδεγμένῃ τάξει τῶν ἐκκλησιαστικῶν βαθμῶν. Ἡ φωνὴ τοῦ λαοῦ ἐν τῇ περιστάσει ταύτῃ ἦν μόνον ἠχὼ τῆς φωνῆς τοῦ Θεοῦ, ὁ ἀληθὴς τοῦ Κυρίου ἱερεὺς ἀνέῳξε πᾶσι τὴν οἰκίαν αὐτοῦ· ὁ πεινῶν εὕρισκεν ἐν αὐτῷ τροφήν, ὁ γυμνός, ἔνδυμα, ὁ καταδιωκόμενος, προστασίαν, ὁ μετανοῶν, παραμυθίαν, ὁ ἀσθενὴς τὴν συνείδησιν, συμβουλὴν (Πάντ. ἐν βίῳ Κυπρ.).

διαγνούσης τὴν ἀλήθειαν τοῦ Χριστοῦ ἦσαν τὰ συγγράμματα *de idolorum vanitate* (περὶ τῆς τῶν εἰδώλων ματαιότητος) καὶ testimonia adversus Judæos ad Quirinum (μαρτυρίαι κατὰ Ἰουδαίων πρὸς Κυρῖνον). Δύο ἔτη μετὰ τὸ βάπτισμα ὁ Κυπριανὸς προὐχειρίσθη εἰς πρεσβύτερον, ἓν δὲ ἔτος μετὰ τοῦτο, παρὰ τὴν ἰδίαν θέλησιν, «τῇ κρίσει τοῦ Θεοῦ καὶ τῇ ἀγάπῃ τοῦ λαοῦ» (judicio Dei et plebis favore) ἐξελέγη ἐπίσκοπος (¹).

Ἡ ποιμαντικὴ αὐτοῦ μέριμνα ἐστράφη εἰς τὴν διάταξιν τῆς εὐταξίας (²): Ὁρμώμενος ἐκ τοῦ ζήλου πρὸς τὸν τέλειον χριστιανικὸν βίον, ἔγραψε τότε τὸ βιβλίον de habitu virginum (περὶ τῆς τῶν παρθένων στολῆς). Ἡ σκληρότης τοῦ Νοουάτου ἐφείλκυσε τὴν προσοχὴν αὐτοῦ (³)· ἀλλ᾽ ἡ περὶ αὐτοῦ ὑπόθεσις κατελείφθη ἕνεκα τῶν δεινῶν τοῦ ἐνσκήψαντος διωγμοῦ. Ἡ δὲ συμφορὰ αὕτη ἐγνώσθη τῷ ἁγίῳ Κυπριανῷ δι᾽ ὁράματος (⁴). Ἅμα ἐκδοθέντος τοῦ διατάγματος τοῦ Δεκίου (τῷ 250), ὁ ὄχλος ᾔτει τὸν θάνατον τοῦ Ἱεράρχου (⁵). Ἀλλὰ χάριν τοῦ ποιμνίου αὐτοῦ, κατ᾽ ἀποκάλυψιν, ἐκρύβη (⁶). Κατὰ τὸν δεινὸν τοῦτον διωγμὸν οὐκ ἐπαύετο δι-

Κυρία δὲ αὐτοῦ ἀσχολία ἦν τὸ κήρυγμα τοῦ Θείου λόγου. Εὖ εἰδώς, ὅτι τὰ παραδείγματα ἔχουσι μεγίστην ἐπὶ τὴν καρδίαν ἐπιρροήν, οὐχ οὕτως ἐσπούδαζε δεικνύειν, πῶς δεῖ ζῆν, ὅσον δεικνύειν, πῶς ἔζων οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι (αὐτόθ.), οἱ ἀκροαταὶ αὐτοῦ μετὰ χαρᾶς παρετήρουν ἐν πολλαῖς αὐτοῦ πράξεσι τὴν πιστὴν μίμησιν πράξεών τινων τῶν ἁγίων ἀνδρῶν (αὐτόθ). Σ. Μ.

(¹) Pont. in vit. S. Cypriani, ed ap. Ruinart. in actis S. Martyrum. T. 2, 24—26.

(²) Τῷ 249 ἐγράφησαν epistol. I. prespyterio et diaconibus et plebi Furnis consistentibus σὺν τῇ ἀπαγορεύσει τοῦ εἶναι πρεσβύτερον ἐκτελεστὴν διαθήκης, epist. II. ad Eucratium, περί τινος νεωστὶ βαπτισθέντος ὑποκριτοῦ, ἱστρίωνος καλουμένου, ᾧ ἀπαγορεύεται μετέρχεσθαι τὴν τέχνην αὐτοῦ. Epist. III ad Pogatianum, de diacono, qui contra episcopum contendit. Epist. IV ad Pomponium, de virginibus.

(³) Epist. LIII.

(⁴) Ep. XI.

(⁵) Eq. IX ad Roman.

(⁶) Pont. vit. p. 23, 29. Ep. V. VIII. [Μετὰ τὴν γενομένην αὐτῷ ἀποκάλυψιν, ὁ στέφανος τοῦ μαρτυρίου ἦν ἂν σημεῖον ὑπερηφανίας καὶ παρακοῆς. Παραδοὺς δὲ τὴν διοίκη-

δοὺς διδασκαλίας τῷ κλήρῳ τῆς Καρχηδόνος, διατελῶν νοερῶς μετὰ τοῦ ποιμνίου αὐτοῦ. Ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ, ὁτὲ μὲν παρώρμα πρὸς τοὺς ἀγῶνας τοὺς ἐν τῇ πίστει ἀσθενεῖς, ὁτὲ δὲ παρεμυθεῖτο τοὺς ἰσχυροὺς ἀθλητάς ([1]). Ἡ ἀσθένειά τινων, ἐκ φόβου ἀρνησαμένων τὸν Χριστόν, βαθέως ἐλύπησεν αὐτόν. Η δὲ ὀλιγωρία τῶν Ὁμολογητῶν ἐπιτρεψάντων συγγνώμην τοῖς πεσοῦσι, μὴ ὑποβληθεῖσιν εἰς μετάνοιαν, ἐπηύξησε τὴν ψυχικὴν αὐτοῦ λύπην([2]). Πρὸς νέαν θλίψιν τοῦ ποιμένος ὁ μοχθηρὸς Φηλικίσσιμος συνέστησεν ἰδίαν κοινότητα καὶ ἡνώθη τῷ Νοουάτῳ. Ὅτε δὲ ὁ διωγμὸς (τῷ 251) ἐξησθένησεν, ὁ Κυπριανὸς μετὰ ἀποχωρισμὸν δέκα καὶ ἓξ μηνῶν ἀπὸ τοῦ ποιμνίου αὐτοῦ, ἐπανελθὼν εἰς Καρχηδόνα, ἐξήτασεν ἐν συνόδῳ τὴν ὑπόθεσιν τῶν ἐκπεπτωκότων καὶ τοῦ Φηλικισσίμου, συγγράψας προλαβόντως τὸ βιβλίον de lapsis (περὶ τῶν ἐκπεπτωκότων τῆς πίστεως), ὡς προπαρασκευὴν πρὸς τὰς ἀποφάσεις τῆς συνόδου. Οὕτως ἐπερατώθησαν αἱ περὶ τούτου ἀποφάσεις τῆς συνόδου, καὶ νέον ἀγῶνα ἀπέκειτο τῷ Κυπριανῷ ἀναδέξασθαι. Ἐν Ῥώμῃ ἐξελέγησαν δύο ἐπίσκοποι, ὁ ἐνάρετος Κορνήλιος καὶ ὁ Ναυατιανὸς προχειρισθεὶς καὶ αὐτὸς ῥᾳδιουργίαις τοῦ ἐκεῖσε μεταβάντος Νοουάτου. Ἀμφότερα τὰ μέρη ἀπέστειλαν πρεσβείαν πρὸς τὸν Κυπριανόν, προσδοκῶντα τὴν παρ᾽ αὐτοῦ ἀπόφασιν. Ὁ Κυπριανὸς γιγνώσκων τὴν ἀξίαν τοῦ Κορνηλίου, ὡς καὶ τὸ πνεῦμα τῶν ἐκλεξάντων τὸν Ναυατιανόν, ἐπεδοκίμασε τὴν ἐκλογὴν τοῦ πρώτου. Ὡς πρὸς τοὺς ἐκπεπτωκότας ἐφάνη τότε εὔλογον, ἵνα παρὰ τὴν γνώμην τοῦ

σιν τῆς Ἐκκλησίας τοῖς ἐπ᾽ εὐσεβείᾳ καὶ ἀρετῇ διαπρεπέσι πρεσβυτέροις Βριδίῳ, Νουμιδίνῳ καὶ Τερτίλῳ, καὶ τῷ γέροντι Ρογατιανῷ, μετὰ ταῦτα μάρτυρι, ἀπεχώρισε μετὰ τοῦ Διακόνου Βίκτωρος εἰς ἄγνωστόν τινα τόπον. Σ. Μ.

([1]) Epist. V-VII. Ὁ Ρωμαϊκὸς κλῆρος ἐμέμφετο αὐτῷ ἐπὶ τῷ καταλιπεῖν τὸ ἴδιον ποίμνιον. Μομφὴ ἄτοπος. ἴδ. epistol. IX—XI. XIII. epist. XII ad clerum, ut confessoribus in carcere constitutis omnis humanitas præbeatur. Epist. VII. ad clerum, de cura pauperum et peregrinorum Epist. XXXVII-XL.

([2]) Ep. XV. ad Martyres et Gonfesseres, qui lapsis petierunt pacem dari. epist. XVI—XXVII. XXIX—XXXVI.

Νοουάτου μὴ στερηθῶσι μὲν τῆς ἐλπίδος τοῦ συνδιαλλαγῆναι τῇ Ἐκκλησίᾳ, ἀλλὰ καὶ οὐκ ἐπετράπη αὐτοῖς ἡ μετὰ τῶν πιστῶν κοινωνία ἄνευ προηγουμένης μετανοίας, ὡς ἐπέτρεπεν ὁ Φηλικίσσιμος (1). Σύναμα δὲ ἀπέστειλε πρὸς τῇ ἐπιστολῇ τὸ βιβλίον αὐτοῦ de unitate Ecclesiæ (περὶ ἑνότητος τῆς Ἐκκλησίας) πρὸς τοὺς ρωμαίους ὁμολογητάς, οὓς ὁ Νοουάτος παρέσυρεν εἰς τὴν κοινότητα αὐτοῦ(2), καὶ οἱ κατὰ τὸν λόγον τῆς ἀγάπης αὐτοῦ ὁμολογηταὶ ἐν μετανοίᾳ ἐξητήσαντο συγγνώμην παρὰ τοῦ Ἐπισκόπου αὐτῶν(3). Τῷ 252 ἕνεκα τοῦ ἐπελθόντος διωγμοῦ, περὶ οὗ πολλὰ προανηγγέλθησαν δι' ἀποκαλύψεως, ἐγένοντο ἐν συνόδῳ ἐλαφρότεραι αἱ περὶ τῶν μετανοούντων ἀποφάσεις [*]. Ἐν τῇ αὐτῇ συνόδῳ ὁ Π ρ ή β α τ ο ς, στερηθεὶς τοῦ ἐπισκοπικοῦ ἀξιώματος ἕνεκα ἐγκλήματος, ᾔτει μετὰ τῶν ὁμοίων αὐτῷ, ἵνα ἡ ὑπόθεσις αὐτοῦ ἐξετασθῇ ἐκ νέου [α]. Οὐ γενομένης δὲ δεκτῆς τῆς αἰτήσεως αὐτοῦ, ἐκήρυξε τὸν ἅγιον Κυπριανὸν ἀνάξιον τῆς ἐπισκοπῆς καὶ ἀντ' αὐτοῦ ἐχειροτόνησε τὸν Φ ο ρ τ ο υ ν ά τ ο ν, ὃς παραυτὰ ἀπέστειλεν εἰς Ῥώμην τὸν Φηλικίσσιμον μετὰ τῆς ἀγγελίας περὶ τῆς εἰς τὸν ἐπισκοπικὸν θρόνον ἀναβάσεως αὐτοῦ. Ὁ Κορνήλιος τὸ μὲν πρῶτον ἀπέβαλε τὸν Φηλικίσσιμον, ἀλλ' ἔπειτα, θορυβηθεὶς ὑπὸ τῶν ἀπειλῶν, ἐδέξατο αὐτόν. Ὁ Κυπριανὸς μαθὼν

(1) Ἐπιστολ. τοῦ σνά. ἔτ. epist. XLIV—LIV.
(2) Ep. XLVI. LI.
(3) Ep. XLIX Cornel. ad Cyprian.

[*] Ἐν τῇ συνόδῳ ταύτῃ προέτεινεν ὁ ἅγιος Κυπριανὸς κοινωνῆσαι πάντας τοὺς μετανοοῦντας τοῖς πιστοῖς, ἵνα ἡ Ἐκκλησία, ὡς ἔλεγε, δυνηθῇ ἐμφανισθῆναι μετὰ παρθενικῆς καθαριότητος ὑπὸ τὸν στέφανον τοῦ μαρτυρίου. Ἡ πρότασις αὐτοῦ ἐγένετο παραδεκτὴ ὁμοθυμαδόν, καὶ οἱ μετανοοῦντες, παρηγορηθέντες ὑπὸ τοιαύτης συγκαταβάσεως, ἐφλέγοντο ὑπὸ τοῦ ζήλου ἐκπλῦναι τῷ ἑαυτῶν αἵματι τὸν ῥύπον τῆς προτέρας μικροψυχίας. Ἀλλ' ἡ μεταβολὴ τῆς ἀποφάσεως, οὕτως ἐπιμόνως ὑπερασπιζομένης πρότερον ὑπ' αὐτοῦ τοῦ Κυπριανοῦ, ἠδύνατο ἐπενεγκεῖν σκάνδαλον, ἰδίως δὲ διὰ τῆς παρεξηγήσεως αὐτῆς ἐκ μέρους τῶν αἱρετικῶν. Ἵνα προλάβῃ τοῦτο ἐξέθηκεν ἐν τῇ πρὸς τὴν ρωμαϊκὴν Ἐκκλησίαν ἐπιστολῇ αὐτοῦ ἐν λεπτομερείᾳ καὶ δυνάμει τὰς αἰτίας, ἐφ' ὧν ἐρειδομένη ἡ ἐν Καρχηδόνι σύνοδος ἡγήσατο ἀναγκαῖον μεταβαλεῖν τὴν προτέραν ἀπόφασιν. Σ. Μ.

[α] Ὁ Πρήβατος ἐγένετο ἐπίσκοπος Νουμιδίας.

τοῦτο ἐξ ἐπιστολῆς αὐτοῦ τοῦ Κορνηλίου, διὰ βραχέων ἐδήλωσεν αὐτῷ τὸ ἄστατον τοῦ πνεύματος αὐτοῦ, καὶ περιέγραψεν οἷός ἐστιν ὁ Νοουάτος καὶ οἱ ἑταῖροι αὐτοῦ (¹). Ἡ εἰρήνη ἀποκατέστη, ἀλλ' ἐνέσκηψε φοβερὸς λοιμός, ἐρημώσας πόλεις καὶ χωρία [6], καὶ μετ' αὐτὸν (τῷ 253) ὁ διωγμὸς τοῦ Γάλλου κατὰ τῶν Χριστιανῶν. Τότε ὁ Κυπριανὸς ἐφάνη Ἄγγελος Φύλαξ οὐ μόνον τοῖς τέκνοις αὐτοῦ, ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐθνικοῖς. Διὰ τοῦ παραδείγματος καὶ διὰ τῶν νουθεσιῶν αὐτοῦ διετίθη ἅπαντας εἰς τὸ δαπανᾶν τὴν περιουσίαν αὐτῶν πρὸς βοήθειαν τῶν ὑπὸ τοῦ λοιμοῦ πασχόντων ἄνευ διακρίσεως (²). «Μὴ βλέπετε, ἔγραφεν ἐν τῷ de mortalitate (περὶ θνητοῦ) βιβλίῳ, εἰς τὸ πρόσωπον τοῦ πάσχοντος· ἅπαντές εἰσιν ἀδελφοὶ ἡμῶν, τέκνα τοῦ ἑνὸς οὐρανίου Πατρός, καὶ ἰδέτωσαν οἱ ἐθνικοί, ὅτι καὶ αὐτὸς ὁ θάνατος οὐ δύναται σβέσαι ἐν τῷ χριστιανῷ τὴν πρὸς τοὺς ἐχθροὺς ἀγάπην.» Ἐν τῷ αὐτῷ πνεύματι ἔγραψεν ἐπίσης τότε τὸ βιβλίον: de opere et eleemosynis (περὶ ἔργων καὶ ἐλεημοσύνης), καὶ ἔργῳ ἐδήλωσε τὴν ἐλευθεριότητα αὐτοῦ τοῖς ἐκ Νουμιδίας χριστιανοῖς, ὑπὸ τῶν βαρβάρων συληθεῖσι (³). [γ] κατὰ τὸν αὐ-

(¹) Ἐπιστολ. τοῦ σνβ'. ἔτ. LV--LX. ἴδ. κατ' ἐξοχὴν epist. LV—LVII. LIX. LX.

[6] Περὶ τοῦ λοιμοῦ τούτου γράφει Διονύσιος ὁ Ἀλεξανδρείας τάδε: « τῇ Χριστοῦ πάλιν ἐνηυφράνθημεν εἰρήνῃ, ἣν μόνοις ἡμῖν δέδωκε. Βραχυτάτης δὲ ἡμῶν τε καὶ αὐτῶν τυχόντων ἀναπνοῆς, ἐπικατέσκηψεν ἡ νόσος αὕτη, πρᾶγμα φόβου τε παντὸς φοβερώτερον ἐκείνοις, καὶ συμφορᾶς ἡστινοσοῦν σχετλιώτερον, καὶ ὥς ἴδιός τις αὐτῶν (τῶν ἐθνικῶν) ἀπήγγειλε συγγραφεύς, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γενόμενον . . . (Παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. ζ'. 22). Σ. Μ.

(²) Pont. in vit Cypr. c. VIII, IX.

(³) Ebist. LXII.

[γ] Οὐ πολὺ ὕστερον ἔγραψεν ὁ Κυπριανὸς τῷ Καικιλίῳ περὶ τοῦ μυστηρίου τῆς Εὐχαριστίας. Ἀφορμὴ πρὸς τοῦτο ὑπῆρξεν ἡ κακόδοξος κατάχρησις πρεσβυτέρων τινῶν καὶ δὴ καὶ ἐπισκόπων χρῆσθαι κατὰ τὴν ἱερουργίαν ἀντὶ οἴνου μεθ' ὕδατος μόνον ὕδατι. Τὴν συνήθειαν ταύτην ἐστήριζον ἐπὶ τοῦ παραδείγματος ἀρχαίου τινὸς Ἐπισκόπου καὶ ἐπὶ τῶν δεινῶν τῆς Ἐκκλησίας περιστατικῶν. Ὁ Κυπριανὸς ἀπέδειξεν, ὅτι τὸ παράδειγμα τοῦ Ἐπισκόπου τούτου χρησαμένου ὕδατι μόνον ἐξ ἀγνοίας, ἢ ἐξ ἀπλότητος οὐδεμίαν ἔχει σημασίαν, καὶ ὅτι τὸ αἷμα καὶ τὸ ὕδωρ τὰ ρεύσαντα ἐκ τῆς ἁγίας τοῦ Σωτῆρος

τὸν χρόνον ἐνίσχυσε τοὺς μάρτυρας εἰς τοὺς ἀγῶνας τοῦ μαρτυρίου διὰ τοῦ συγγράμματος de exhortatione martyrii ad Fortunatum (περὶ προτροπῆς εἰς τὸ μαρτύριον πρὸς Φορτουνάτον). Καὶ ὅμως ὁ ὄχλος οὐχ ἅπαξ ᾔτει, ἵνα ὁ Κυπριανὸς θηριομαχήσῃ πρὸς τοὺς λέοντας καὶ τοῖς χριστιανοῖς ἀπεδίδου τὰς συμφορὰς τὰς ἐπελθούσας τῇ Αὐτοκρατορίᾳ. Πρὸς ἀναίρεσιν τῆς συκοφαντίας ταύτης ἔγραψεν ὁ Κυπριανὸς τὸ βιβλίον ad Demetrianum (πρὸς Δημητριανόν) ([1]). Κατὰ τὰ πρῶτα ἔτη τῆς διοικήσεως τοῦ Οὐαλεριανοῦ (ἀπὸ τοῦ 254—257) ἡ Ἐκκλησία διετέλει ἥσυχος μετὰ τὸν διωγμὸν τοῦ Γάλλου· ὁ Κυπριανὸς ἠσχολήθη περὶ τὴν εὐταξίαν τῆς Ἐκκλησίας· τότε (τῷ 254) πρὸς τοῖς ἄλλοις μετὰ τὴν συνοδικὴν ἀπόφασιν ἔγραψε πρὸς τὸν ἐπίσκοπον Φῖδον ἐπιστολὴν de infantibus baptisandis (περὶ τοῦ δεῖν βαπτίζειν τὰ νήπια) (*). Κατὰ τὸ ἑπόμενον ἔτος ἕνεκα αἰτιάσεως τῶν δυτικῶν ἐπισκόπων ἠνάγκασε τὸν Ῥώμης ἐπίσκοπον Στέφανον ἐᾶσαι τὴν ἐπίμονον ἀπαίτησιν τοῦ ἀποδοῦναι δυσὶ δικαίως καθαιρεθεῖσι ἐπισκόποις τὸν βαθμὸν αὐτῶν ([2]).

πλευρᾶς κατὰ τὰ πάθη, δι' αὐτοῦ τοῦ χρόνου τῆς ἐκροῆς αὐτῶν ἔδειξαν, ὅτι οὐ δεῖ χωρίζειν αὐτὰ κατὰ τοὺς διωγμοὺς (epist. ad Cæcilium). Σ. Μ.

([1]) Ἐπιστ. τοῦ σνγ'. ἔτ. LXI—LXIII. LXV.

(*) Ἡ ἀρχὴ τοῦ σνδ' ἔτους ἦν τῷ ἁγίῳ Κυπριανῷ ἥκιστα εὐάρεστος. Ἐπίσκοπός τις, ὀνόματι Πουπιανός, διαπρέψας ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ κατὰ τὸν διωγμὸν τοῦ Δεκίου, ἀπέστειλεν αὐτῷ ἐπιστολήν, ἐν ᾗ ἔγραφεν, ὅτι μέχρι τούτου τοῦ χρόνου οὐ δύναται πιστεύειν, ὅτι ἦν ἄξιος τῆς ἐπισκοπῆς, ὅτι ἡγεῖτο καὶ ἡγεῖται ἀκαθάρτους πάντας τοὺς ὑποτασσομένους αὐτῷ, καὶ ὅτι, κατὰ τὴν δοξασίαν αὐτοῦ, αὐτὸς (ὁ Κυπριανὸς) ἐστιν ὁ αἴτιος πασῶν τῶν ταρασσουσῶν τὴν Ἐκκλησίαν διχονοιῶν. Ὁ Πουπιανὸς βεβαίως παρεσύρθη ὑπὸ τῶν ὀπαδῶν τοῦ Ναυατιανοῦ. Προβλέπων ὁ θεῖος Κυπριανὸς τὸν ἐπικρεμάμενον τῇ Ἐκκλησίᾳ κίνδυνον, εἰ αὐτοὶ οἱ ἐπίσκοποι ἔσονται οὕτως ἄκριτοι καὶ αὐθάδεις, ὡς ὁ Πουπιανός, ἐπελάθετο, οὕτως εἰπεῖν, τῆς πραότητος αὐτοῦ πρὸς καιρόν, καὶ ἀπεκρίνατο αὐτῷ δι' ἐπιστολῆς πλήρους ἁπάσης τῆς δυνάμεως τῶν λόγων τοῦ Θεοῦ. Ἡ ἐπιστολὴ αὕτη διὰ πολλοὺς λόγους ἐστὶ τὰ μάλιστα ἀξιοσημείωτος. Σ.Μ.

([2]) Epist LXIV. LXVII. LXVIII. [Οἱ ἐπίσκοποι οὗτοι, Βασιλείδης καὶ Μαρτιάλης καλούμενοι, ἐστερήθησαν

Τῷ 255 ἐξεῤῥάγη ἔρις περὶ τοῦ βαπτίσματος τῶν αἱρετικῶν. Ὁ Κυπριανός, ἑπόμενος τῷ ἔθει τῆς Ἐκκλησίας αὐτοῦ καὶ ἐρειδόμενος ἐπὶ τοῦ ὅτι ἐκτὸς τῆς Ἐκκλησίας οὐκ ἔστι Πνεῦμα Θεοῦ, ἑπομένως δὲ καὶ μυστήρια, ἔγνω βαπτίσαι πάντας τοὺς αἱρετικούς, τοὺς ἐπιστρέφοντας εἰς τὴν Ἐκκλησίαν (¹). Κατὰ τὸ πνεῦμα τῆς κοινωνίας τῶν Ἐκκλησιῶν ὁ ἅγιος Κυπριανὸς ἀνεκοίνωσε τὴν συνοδικὴν ἀπόφασιν τῷ Ῥώμης ἐπισκόπῳ Στεφάνῳ· ἀλλ᾽ ἐκεῖνος οὐκ ἦν πρᾶος, ὥσπερ οὗτος. Ἐν τῇ πρὸς τὴν σύνοδον τῆς Καρχηδόνος ἐπιστολῇ αὐτοῦ ἐμέμψατο ἀποτόμως τοῖς Ἀφρικανοῖς ἐπισκόποις καὶ ἠπείλησεν, ὅτι ἀφορίσει αὐτούς τε καὶ τὸν Κυπριανὸν τῆς Ἐκκλησίας, ἐὰν μὴ καταλίπωσι τὴν ἀπόφασιν αὐτῶν. Ὁ ἅγιος Κυπριανὸς ἔγραψε τότε τὸ βιβλίον de zelo et livore (περὶ ζήλου καὶ φθόνου) (²). Τῷ 257 ἐν νέᾳ πολυαρίθμῳ συνόδῳ ὑπεστήριξε τὴν προτέραν ἀπόφασιν, ὡρίσατο, ἵνα μηδεὶς τῶν ἐπισκόπων καλῇ ἑαυτὸν κεφαλὴν τῆς Ἐκκλησίας, καὶ ἡ Ἐκκλησία τῆς Καρχηδόνος μὴ ζητῇ κρίσιν ἐν τῇ ῥωμαϊκῇ. Τὴν ἀπόφασιν ταύτην ἐκοινοποίησε καὶ Φιρμιλιανῷ τῷ Καππαδοκίας, ὃν ὁ Στέφανος διὰ τὴν μετὰ τοῦ Κυπριανοῦ συμφωνίαν αὐτοῦ ἐκήρυξεν ἀκοινώνητον τῆς Ἐκκλησίας [*] (³). Τῷ 257 κατὰ τὸν διωγμὸν τοῦ Οὐαλεριανοῦ ὁ ἅγιος

τοῦ ἀξιώματος αὐτῶν ἅτε μὴ δείξαντες τὴν προσήκουσαν σταθερότητα ἐν τῇ πίστει κατὰ τὸν διωγμόν. Ἐν τῇ πρὸς τὸν Ῥώμης ἐπίσκοπον ἐπιστολῇ αὐτοῦ ὁ ἱερὸς Κυπριανός, ὁρμώμενος ἐξ ἀδελφικῆς ἀγάπης, ἀποκαλύπτει τὸ ψεῦδος καὶ δείκνυσι τὴν ἀλήθειαν. Οὐ γράφει πρὸς αὐτὸν ὡς δικαστής, ἀλλ᾽ ὡς εἰλικρινέστατος φίλος. Πρὸς τοῖς ἄλλοις συνεβούλευσε τῷ Στεφάνῳ ἀναγγεῖλαι ταχέως τοῖς ἐπισκόποις δι᾽ ἐγκυκλίου ἐπιστολῆς τὸ νόμιμον τῆς καθαιρέσεως τοῦ Βασιλείδου καὶ Μαρτιάλου. Ὁ Στέφανος ὑπήκουσε ταῖς ἀδελφικαῖς τοῦ Κυπριανοῦ συμβουλαῖς. Σ. Μ.]

(¹) Αἱ ἀποφάσεις in epistol. X ad Januarium. Κατὰ τὸ αὐτὸ ἔτος ἐγράφη ἡ 69 ἐπιστ. ad Magnum καὶ ἡ 71 ad Quintum.

(²) Epist. LXXIX. LXXIV. LXXV. August. de baptismo contra Donatistas. l. IV. c. 8. in cap. V. epist. ad Galatas.

[*] Οὐ μόνον τὸν Φιρμιλιανόν, ἀλλὰ καὶ τοὺς ἐπισκόπους τῆς Γαλατίας καὶ Κιλικίας ἐκήρυξε ἀκοινωνήτους τῆς Ἐκκλησίας καὶ ὠνόμασεν αὐτοὺς ἀναβαπτιστάς. Ἴδ. τοῦ σοφοῦ Κοντογόνου ἐκκλ. ἱστορ. Τ. Α. σελ. 277—78. Σ. Μ.

(³) Ep. LXXII ad Stephanum

Κυπριανὸς ἐξωρίσθη εἰς Κούρουβιν, ἐπαρχιακήν τινα πόλιν. Ἐκεῖ ἐν ἀποκαλύψει ἐδηλώθη αὐτῷ, ὅτι ὡρίσθη ὑπηρετῆσαι ἐπὶ τῆς γῆς ἔτι ἔτος (1). Ἀκριβῶς μετὰ ἓν ἔτος ὁ ἀνθύπατος Γαλέριος Μάξιμος, προσκαλέσας αὐτὸν εἰς Καρχηδόνα εἰς κρίσιν, ἠρώτησεν αὐτόν: «Σὺ ἧς ὁ Πάπας τοῦ ἀσεβοῦς τούτου λαοῦ;»—«ναί», ἀπεκρίνατο ὁ Κυπριανός· ὁ ἀνθύπατος ἐν ὀνόματι τοῦ αὐτοκράτορος ᾔτει, ἵνα ὁ Κυπριανὸς προσενέγκῃ τοῖς Θεοῖς θυσίαν· ὁ ἱεράρχης ἀπεκρίνατο δι' ὁριστικῆς ἀρνήσεως. Ὁ ἀνθύπατος εἶπε πρὸς αὐτόν: «ἐπὶ μακρὸν ἔζησας ἐν ἀσεβέσιν ἐννοίαις καὶ συνήγαγες πάνυ πολλοὺς ὀπαδοὺς τῇ ἀσεβεῖ σου συνωμοσίᾳ· γέγονας ἐχθρὸς τοῖς ρωμαΐοις Θεοῖς

Papam, de concilio. Κατὰ τὴν τρίτην ταύτην σύνοδον παρῆσαν ὀγδοήκοντα καὶ ἑπτὰ ἐπίσκοποι. Ταύτης προηγήθη τῷ 256 ἑτέρα σύνοδος, ἐν ᾗ παρεγένοντο ἑβδομήκοντα καὶ εἷς ἐπίσκοποι. Περὶ τῆς συνόδου ταύτης γίγνεται λόγος ἐν τῇ ἐπιστολῇ ad Jubajanum LXXIII. Κατὰ τὸ αὐτὸ ἔτος ἐγράφη ἡ ἐπιστολὴ LXXIVIV ad Pompeium, ἐν ᾗ ἀνασκευάζει τὰς ἐνστάσεις τοῦ Στεφάνου, epist. LXXXV Firmiliani episcopi Cappadociæ ad Cyprianum contra epistolam Stephani. [Ὁ ἐκραγεὶς κατὰ τῶν χριστιανῶν διωγμός, καθ' ὃν ἐτελεύτησεν ὁ Στέφανος, ἔθηκε πέρας ταῖς ἔρισιν. Ὁ Βαρώνιος περὶ τῆς δόξης τοῦ Στεφάνου, ἢ μᾶλλον εἰπεῖν, τῆς ρωμαϊκῆς Ἐκκλησίας μεριμνῶν, λέγει, ὅτι ὁ Κυπριανὸς ὑπεχώρησε τῇ δοξασίᾳ τοῦ Στεφάνου· ἀλλ' ὁ ἱερὸς Αὐγουστῖνος βεβαιοῖ (ἐν τῷ βιβλίῳ περὶ Βαπτίσματος), ὅτι ὁ ἱερομάρτυς διετήρησε μέχρι τέλους τὴν γνώμην αὐτοῦ. Εἰ καὶ ἡ Ἐκκλησία οὐ παρεδέξατο μετὰ ταῦτα τὴν γνώμην τοῦ ἁγίου Κυπριανοῦ ὡς καὶ τὴν τοῦ Στεφάνου, ὁ κρίνων ὅμως αὐστηρῶς καὶ ἀπαθῶς οὐ δύναται μὴ ὁμολογῆσαι ὅτι ἡ τοῦ Κυπριανοῦ γνώμη ἐστὶν ὀρθοτέρα τῆς τοῦ Στεφάνου, ἄλλως τε καὶ ἀποβλέπων εἰς τοὺς αἱρετικοὺς ἐκ τοῦ μέρους ἐκείνου, ἐξ οὗ ἀπέβλεπεν αὐτός,—ἐκ τοῦ μέρους τῆς ἀληθινῆς Ἐκκλησίας, ὡς τῆς μόνης φύλακος τῶν δώρων τοῦ ἁγίου Πνεύματος. Σ. Μ.]

(1) Pont. § 14-18. Τῷ 257 ἐγράφη ἡ ἐπιστολὴ ad Nemesianum et caeteros martyres in metallo constitutos, ἐν ᾗ παραμυθεῖται αὐτούς (ep. LXXVII—LXXIX ad Cyprian). Τῷ 258 ἐγράφη ἡ ἐπιστ. 80 ad Successum: -de nuntiis Roma reversis persecutionem nuntiantibus, ἡ ἐπιστ. 81 ad clerum et plebem:-de suo secessu, paulo ante passionem.

τε καὶ νόμοις· τῷ αἵματί σου ἁγιασθήτω ὁ νόμος». Καὶ ἔγραψεν ἐπὶ σανίδος: «Ὁ Θάσκιος Κυπριανὸς καταδικάζεται μαχαίρᾳ ἀποθανεῖν». Ὁ ἅγιος Κυπριανὸς ἀπεκρίνατο *Deo gratias* (τῷ Θεῷ χάρις), καὶ ἀνεδήσατο τὸν μαρτυρικὸν στέφανον (1).

§ 58. *Χαρακτὴρ καὶ συγγράμματα τοῦ ἁγίου Κυπριανοῦ: α) διὰ τὸν ποιμένα, τοὺς παρθενεύοντας, τοὺς πάσχοντας καὶ τοὺς ἐκπεπτωκότας.*

Πᾶσαι αἱ πράξεις τοῦ ἁγίου Κυπριανοῦ ἐπήγαζον ἐκ τῆς πραότητος καὶ τῆς ἀγάπης. Οὐδένα ἄλλον τίτλον αὐτοῦ ἐγίνωσκεν ἐκτὸς τοῦ ταπεινοῦ ὀνόματος τοῦ συμπρεσβυτέρου (2). Τὸ αὐτὸ πνεῦμα τῆς πραότητος καὶ τῆς ἀγάπης διαλάμπει ἐν ἅπασιν αὐτοῦ τοῖς συγγράμμασιν. Ἡ τρυφερὰ εὐσέβεια, ἧς εἰσὶ ταῦτα πλήρη, ἰσχυρῶς ἐνεργεῖ ἐπὶ τὴν καρδίαν τοῦ ἀναγινώσκοντος αὐτά. Ὁ Κυπριανὸς ἐκάλει διδάσκαλον αὐτοῦ τὸν Τερτυλλιανόν, καὶ αὐτὰ τὰ συγγράμματα αὐτοῦ δηλοῦσι τοῦτο. Ἐὰν συγκρίνωμεν τοὺς λόγους τοῦ Κυπριανοῦ *de Oratione dominica* (περὶ τῆς Κυριακῆς προσευχῆς) καὶ de Patientia (περὶ ὑπομονῆς) πρὸς τοὺς αὐτοὺς τοῦ Τερτυλλιανοῦ, πειθόμεθα εἰς τοῦτο. Ἀλλ' ὁ ἅγιος Κυπριανός ἐστιν ὑπέρτερος τοῦ διδασκάλου αὐτοῦ κατά τε τὴν εἰλικρίνειαν τῆς καρδίας, ἣ ἐξεδήλου τὰ εὐσεβῆ αὐτοῦ αἰσθήματα, καὶ κατὰ τὴν φυσικὴν τάξιν τῶν ἰδεῶν, ἔτι δὲ καὶ κατὰ τὴν ἀκρίβειαν καὶ τὸ εὔρυθμον καὶ κανονικώτερον λεκτικόν. Ὁ ἅγιος Ἱερώνυμος λέγει, ὅτι ὁ μακάριος

---

(1) Acta Martyrii proconsularia. S. Cypriani παρὰ Ρουϊνάρτῳ 2, 46, 47. Κατὰ τὰ πρακτικὰ τοῦ μαρτυρίου αὐτοῦ παρέδωκε τὴν ψυχὴν αὐτοῦ τῷ Κυρίῳ τῇ ιδ'. Σεπτεμβρίου. [Τὰ ἅγια αὐτοῦ λείψανα ἐτάφησαν ἔν τινι παρακειμένῳ λόφῳ ὑπὸ τοῦ ἀπαραμυθήτως θρηνοῦντος ποιμνίου αὐτοῦ. Οὕτως ἐτέλεσε τὸν δρόμον αὐτοῦ ὁ ἱερομάρτυς Κυπριανὸς ἄγων τὸ 57 ἔτος τῆς ἡλικίας αὐτοῦ, ποιμάνας ἐνδόξως τὴν Ἐκκλησίαν τῆς Ἀφρικῆς 8 ἔτη. Σ. Μ.].

(2) Epist. XIII. XXIV. XXVIII. ad presbyt. «Quando a primordio episcopatus mei statuerim nihil sine consilio vestro et sine consensu plebis mea privatim sententia gererem».

Κυπριανὸς ῥέει ὡς γαλήνιος ποταμὸς μετὰ καθαρωτάτου καὶ ἡδυτάτου ὕδατος(1). Ἡ διαλεκτικὴ καὶ αἱ θεωρίαι οὐκ ἦσαν ἔργον τοῦ Κυπριανοῦ. Ἡ ψυχὴ αὐτοῦ ἠσχολεῖτο περὶ τὰς πρακτικὰς ἀνάγκας τῆς Ἐκκλησίας, ἃς ἑώρα ὀξυδερκῶς καὶ αἷς ἐσπούδαζε διδόναι τὴν προσήκουσαν βοήθειαν καὶ διέτασσε μετὰ ζήλου τὴν εὐταξίαν τῆς Ἐκκλησίας. Ἀλλὰ δι' αὐτὸ τοῦτο, ὅτι σπανίως προσεῖχε τῇ θεωρίᾳ τῶν γενικῶν ἀρχῶν, αἱ κρίσεις αὐτοῦ οὐκ ἀείποτε ἐτύγχανον τοῦ γενικοῦ σεβασμοῦ. Ἦσαν μὲν πισταί, ἀλλὰ μόνον δι' ὡρισμένας περιστάσεις, οὐχὶ δὲ καὶ δι' ἁπάσας [α].

---

(1) Epist. XLIX. « Beatus Cyprianus instar fontis purissimi, dulcis incedit et placidus; et cum totus sit in exhortatione virtutum, occupatus persecutionum angustiis, de Scripturis divinis nequaquam disseruit». [Καὶ ὁ Λακτάντιος Instit. V. I. λέγει: «Erat enim (Cyprianus) ingenio facili, copioso, suavi, et quæ sermonis maxima est virtus, aperto; ut discernere nequeas, utrumne ornatior in eloquendo, an facilior in explicando, an potentior in persuadendo fuerit, . . . » Ὁ ἅγιος Ἱερώνυμος ἡγήσατο περιττὸν γράψαι τὸν κατάλογον τῶν συγγραμμάτων αὐτοῦ διὰ τὸ ὑπερβαίνειν τὴν λάμψιν αὐτῶν τὴν τοῦ Ἡλίου: «Hujus ingenii superfluum est indicem texere, cum sole clariora sint ejus Opera». catal. c. LXVII. Ἅπαντες οἱ νεώτεροι σοφοὶ ἀπεφήναντο μετὰ τοῦ προσήκοντος σεβασμοῦ περὶ τοῦ θείου Κυπριανοῦ. Ὁ Φενελών, μεταξὺ ἄλλων, λέγει ἐν τῇ *περὶ εὐγλωττίας ἐπιστολῇ* αὐτοῦ: «qu'il a une magnanimité et une véhémence, qui ressemblent à la vigueur de Démosthène». Ἕτερος Γάλλος λέγει περὶ αὐτοῦ: «Génie facile et abondant, plein de sentiment et de chaleur; et ce, qui est plus à considerer dans un Africain, génie plein d'aménité, de clarté, et de netteté». Σ. Μ.].

[α] Ἀναντίρρητον, ὅτι ὁ θεῖος Κυπριανός ἐστιν εἷς τῶν περιλάμπων ἀστέρων, τῶν αὐγασάντων τὸν ὁρίζοντα τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. Ἀδύνατον καταλέξαι τὰ κατορθώματα αὐτοῦ, ἐγκωμιάσαι δεόντως τὰς ποιμαντορικὰς αὐτοῦ ἀρετάς, καὶ ἐκθεῖναι τὰ εὐγενῆ, τὰ ὑψηλὰ καὶ ὄντως χριστιανικὰ αἰσθήματα αὐτοῦ. Τὰς θαυμαστὰς καὶ σπανίας αὐτοῦ ἀρετὰς ἐθαύμασαν καὶ ἐνεκωμίασαν οἱ περιφανέστατοι τῶν Πατέρων τῆς Ἐκκλησίας. Ὁ Προυδέντιος λέγει περὶ αὐτοῦ:

» Unica terra tulit, quo splendeat omne, quidquid usquam est,

Τὰ συγγράμματα τοῦ ἁγίου Κυπριανοῦ (1) συνεγράφησαν ἅπαντα σχεδὸν κατὰ τὰς συγχρόνους περιστάσεις, καὶ περιέχουσι λύσεις ἐκκλησιαστικῶν ζητημάτων. Τὸ πλεῖστον αὐτῶν μέρος συνίσταται ἐξ ἐπιστολῶν, τὸ δὲ ὑπόλοιπον ἐκ πραγματειῶν. Αἱ ἐπιστολαὶ αὐτοῦ εἰσι πρὸ πάντων πολύτιμοι διὰ τὴν ἱστορίαν τῆς Ἐκ-

---

» Inde domo Cyprianum, sed decus orbis, et magistrum;
» Est proprius patriæ martyr, sed amore et ore noster;
» Incubat in Libya sanquis, sed ubique lingua pollet:
» Sola superstes agit de corpore, sola obire nescit.
» Dum genus esse hominum Christus sinet, et vigere mundum:
» Te leget omnis amans Christum, tua, Cypriane, discet.
» Spiritus ille Dei, qui fluxerat auctor in Prophetas,
« Fontibus eloquii te cœlitus actus irrigavit» (de coron. Hymn. XII). Ὁ ἱερὸς Αὐγουστῖνος ἐν τῷ βιβλίῳ de baptismo III, 3: « Ego Cyprianum catholicun episcopum, catholicum martyrum et, quanto magis magnus erat, tanto se in omnibus humilitatem . . . » in sermone CCCIIII: Cujus reverendi episcopi et venerandi martyri Cipriani laudibus nulla linqua sufficeret, nec si se ipse laudaret». Ἴδ. καὶ Vinc. Lirin. Commonit., c. 6. 30. καὶ Γρηγορ. Ναζιανζ. λόγ. ιή. Ἀξιόλογος καὶ πάνυ ὀρθή ἐστιν ἡ κρίσις, ἣν ἐκφέρει περὶ τοῦ ἱεροῦ Κυπριανοῦ καὶ ὁ σοφώτατος Καβέος: «Vir, λέγει, plane Θαυμάσιος, Christanæ pietatis cultor summus, disiplinæ ecclesiasticæ et episcopalis potestatis vindex accerimus. Bonis artibus apprime imbutus, in Ihtorica excelluit, in sacris et theologicis acutissimus» (Historia Literaria tom. I. pag. 1271. Σ Μ.

(1) Αἱ ἄρισται τῶν ἐκδόσεων τῶν συγγραμμάτων τοῦ ἁγίου Κυπριανοῦ εἰσιν: ἡ τοῦ Νικολάου Ριγαλτίου Paris. 1666 μετὰ σημειώσεων αὐτοῦ τε καὶ τοῦ Παμελίου· ἡ τοῦ Ἰωάννου Φέλλου μετὰ κριτικῆς τοῦ κειμένου, βιογραφίας καὶ σημειώσεων τοῦ Πήρσωνος εἰς τὴν χρονολογικὴν τάξιν τῶν ἐπιστολῶν, Oxonii 1682. Bremæ 1690. Paris 1700, καὶ ἡ τοῦ Στεφάνου Βαλουσίου ἐκδοθεῖσα ὑπὸ τοῦ Προυδεντίου Μαρανοῦ ἐν Παρισίοις τῷ 1726, ἐν Βενετίᾳ τῷ 1728, ἐν Βιρκεβούργῳ τῷ 1782.

κλησίας τοῦ Χριστοῦ ([1]. Ἡ δὲ κυρία ὑπόθεσις τῶν ἄλλων συγ-

([1]) Ἰδοὺ τὸ σύνολον τῶν Ἐπιστολῶν τοῦ ἁγίου Κυπριανοῦ ἐν τῇ χρονολογικῇ αὐτῶν τάξει κατὰ τὴν ἐν Ὀξονίῳ γενομένην ἔκδοσιν:

1ον) Ἐπιστολαὶ τοῦ σμθ'. ἔτους. Ep. I. ad clerum et plebem Furnis consistentem, de Victore, qui Faustinum presbyterum tutorem nominavit. Ep· II. ad Eucratium, de histrione. Ep. III. ad Bogatianum, περὶ διακόνου τινὸς ὑβρίσαντος τὸν ἐπίσκοπον αὐτοῦ Ρογατιανόν. Ep. IV ad Pomponium, περὶ τῶν παρθένων, αἵ, καθιερωθεῖσαι εἰς τὸν Χριστόν, ἀνεκαλύφθησαν ἀκολασταίνουσαι.

2ον) Ἐπιστολαὶ τοῦ σν'. ἔτ. Ep. V. ad clerum Carthaginensen μετὰ παραγγελμάτων κατὰ τὸν χρόνον τῶν διωγμῶν Ep. VI ad confessores (Sergium, Rogasianum et c.), ἐπιστολὴ συγχαρητήριος ἀπευθυνομένη αὐτοῖς, καὶ ᾗ προτρέπει αὐτοὺς μὴ παύσασθαι ὁμολογεῖν μετ' εὐσταθείας. Ep. VII ad clerum carthaginensem, ἐν ᾗ ἐκφράζει τὴν λύπην αὐτοῦ ἐπὶ τῇ ἀπὸ τοῦ ἰδίου ποιμνίου ἀπομακρύνσει, καὶ τὸν πόθον τοῦ ἐπανελθεῖν πρὸς αὐτό. Ep. VIII cleri Romani ad clerum carthaginensem περὶ τῆς φυγῆς τοῦ θείου Κυπριανοῦ. Ep. IX ad clerum Romanum. Διὰ τῆς ἐπιστολῆς ταύτης συγχαίρει τῷ ρωμαϊκῷ κλήρῳ ἐπὶ τῷ μαρτυρικῷ θανάτῳ τοῦ ἐπισκόπου Φαβιανοῦ. Ep. X ad martyres et confessores . Διὰ τῆς ἐπιστολῆς ταύτης προτρέπει εἰς τὸ μαρτύριον τοὺς ἤδη ὑποστάντας τὸν πρῶτον τῶν βασανιστηρίων ἀγῶνα. Ep. XI. ad clerum carthag. Ἐκτίθησι τὴν αἰτίαν τῶν συμφορῶν, ἃς οἱ χριστιανοὶ ὑφίστανται. Ep. XII ad eundem περὶ τῶν καθηκόντων αὐτῶν πρὸς τοὺς ὁμολογητάς. Ep. XIII. ad Rogatianum μετὰ παραινέσεως πρὸς τὴν ὑπομονήν. Ep. XIV ad Prespyt. Carthag. Ἐν τῇ ἐπιστολῇ ταύτῃ παραινεῖ μεριμνᾷν περὶ τῶν πτωχῶν. Ep. XV. ad martyres et confessores. Ἐντέλλεται μὴ διδόναι ἀδιακρίτως τοῖς ἐκπεπτωκόσι συγχώρησιν. Ep. XVI-XXVII. XXIX—XXXVI. Αἱ ἐπιστολαὶ αὗται περιέχουσι κανόνας περὶ τῶν ἐκπεπτωκότων. Ep. XXVIII ad Mogsen et Maximum et caeteros confessores. Ὁ Κυπριανὸς ἄγει δι' ἐπαίνων τοὺς δύο τούτους ἱερεῖς καὶ ὁμολογητάς, ὡς καὶ τοὺς αὐτοῖς συμφρονοῦντας διὰ τὴν ἀκρίβειαν, ᾗ τηροῦσι τὴν ἐκκλησιαστικὴν τάξιν. Ep. XXXVII ad confessores Romanos Moysen et c. Διὰ τῆς ἐπιστολῆς ταύτης δηλοῖ τὴν χαρὰν αὐτοῦ ἐπὶ τῇ εὐσταθείᾳ αὐτῶν ἐν τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ. XLI—XLVII περὶ τῆς ὑποθέσεως τοῦ Φηλικισσίμου.

γραμμάτων τοῦ ἁγίου Κυπριανοῦ εἰσιν—ὁ Ποιμὴν τῆς Ἐκκλησίας καὶ οἱ παρθενεύοντες, οἱ πάσχοντες καὶ οἱ ἐκπεπτωκότες, ὁ Ἐθνισμὸς καὶ ὁ Ἰουδαϊσμός, ἡ αἵρεσις καὶ τὰ σχίσματα.

3ον) Ἐπιστολαὶ τοῦ σνά. ἔτ. Ep. XLI—LIV περὶ τῆς ὑποθέσεως τοῦ Ναυατιανοῦ.

4ον) Ἐπιστ. τοῦ σνβ'. ἔτ. Ep. LV περὶ τῆς ὑποθέσεως τοῦ Ναυατιανοῦ. Ep. LVI—LVIII περὶ τῶν ἐκπεπτωκότων μετὰ κανόνων.

5ον) Ἐπιστ. τοῦ σνγ' ἔτ. Ep. LXI ad Lucium Papam. Ἐν τῇ ἐπισ. ταύτῃ ἐκφράζει τὴν χαρὰν αὐτοῦ ὁ ἅγιος Κυπριανός, ὅτι ὁ Θεὸς χαριεῖται τῷ Λουκίῳ τὴν δόξαν τοῦ μάρτυρος ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ. Ep. LXII ad Januarium περὶ ἀπολυτρώσεως τῶν ἀδελφῶν ἐκ τῆς αἰχμαλωσίας τῶν βαρβάρων. Ep. LXIII ad Caecilium περὶ τοῦ μυστηρίου τῆς ἀναιμάκτου θυσίας καὶ τοῦ σκοποῦ αὐτοῦ. Ep. LXIV ad Fidum περὶ τοῦ βαπτίσματος τῶν νηπίων. Ep. LV ad Epictetum et plebem Assuritanorum περί τινος Φορτουνατιανοῦ ἐπισκόπου αὐτῶν καὶ περὶ τῶν ἐκπεπτωκότων.

6ον) Ἐπιστολαὶ τοῦ σνδ'. ἔτ. Ep. LXVI ad Florentium Pupianum ἀπόκρισις εἰς τὰς ὑπὲρ τοῦ Φηλικισσίμου γενομένας μομφάς. Ep. LXVII ad Ecclesiam Legionis et Emeritæ μετὰ κανόνων περὶ τῶν ἐκπεπτωκότων. Ep. LXVIII ad Stephanum Papam περὶ τοῦ ἐπισκόπου τῆς Ἀρελάτης Μαρκιανοῦ, γενομένου ὁμοδόξου τῷ Ναυατιανῷ.

7ον) Ἐπιστ. τοῦ σνε'. ἔτ. Ep. LXIX ad Magnum περὶ τοῦ βαπτίσματος τῶν σχισματικῶν Ναυατιανῶν καὶ τοῦ τῶν Κλινικῶν. Ep. LXX ad Januarium μετὰ κανόνων περὶ τοῦ βαπτίσματος τῶν αἱρετικῶν.

8ον) Ἐπιστ. τοῦ σνϛ'. ἔτ. Ep. LXXII ad Stephanum Papam μετὰ κανόνων περὶ τοῦ βαπτίσματος τῶν αἱρετικῶν. Ep. LXXIII—LXXV περὶ τῆς αὐτῆς ὑποθέσεως.

9ον) Ἐπιστ. τοῦ σνζ'. ἔτ. Ep. LXXVI παραμυθίαι τοῖς ὁμολογηταῖς.

10ον) Ἐπιστ. τοῦ σνη'. ἔτ. Ep. LXXX ad Successum περιέχουσα ἀγγελίας περὶ τῶν ὁμολογητῶν καὶ τῶν μαρτύρων. Epist. LXXXI ad Presbyteros περιέχουσα διδασκαλίας περὶ τοῦ πῶς δεῖ διάγειν ἐν τῷ καιρῷ τῶν διωγμῶν.

α] Διὰ τὸν Ποιμένα τὸ βιβλίον de zelo et livore (περὶ ζήλου καὶ φθόνου) ἐστι χρυσοῦν σύγγραμμα, καρπὸς ἀληθοῦς Ἀποστολικοῦ πνεύματος, περιέχον διδασκαλίας περὶ τοῦ δεῖ ἄρχειν ἑαυτῶν διὰ τὴν εἰρήνην καὶ τὴν ὠφέλειαν τῆς Ἐκκλησίας. «Ὁ ζῆλος καὶ ὁ φθόνος, λέγει ὁ ἅγιος Ποιμήν, εἰσι δηλητηριώδη φυτά, ἃ φύονται πάνυ συνήθως ἐν τῷ ἐδάφει τῆς Ἐκκλησίας, αὐξάνονται ἐν ἀφθονίᾳ, καὶ ὧν ἡ καθαίρεσις δεῖται διηνεκοῦς προσοχῆς. Ἅπασαι αἱ μεγάλαι συμφοραί εἰσι καρπὸς τούτου τοῦ πάθους, ἡ πτῶσις τῶν ἀγγέλων καὶ τοῦ ἀνθρώπου, ἡ πρώτη ἀδελφοκτονία, πρὸ πάντων δὲ τὰ δεινὰ τῆς Ἐκκλησίας. Ἐντεῦθεν διαρρήγνυται ὁ σύνδεσμος τῆς εἰρήνης, ἐντεῦθεν ἡ ἀδελφικὴ ἀγάπη καταπατεῖται, ἐντεῦθεν ἡ ἀλήθεια διαφθείρεται, διασπᾶται ἡ ἑνότης, ἀναφύονται αἱ αἱρέσεις καὶ τὰ σχίσματα, αἱ κατὰ τῶν ἱερέων μομφαί, τὸ πρὸς τοὺς ἐπισκόπους μῖσος . . . Ταπεινὸν καὶ ὀλέθριον τὸ πάθος τοῦτο τῇ ψυχῇ. Τούτου ἕνεκεν ὁ Σωτὴρ ἔθηκε τὴν πραότητα ὡς θεμελιώδη νόμον τῆς ἀποστολικῆς ἱεραρχίας, τὴν δ' ἀγάπην ὡς διακριτικὸν χαρακτῆρα τῶν μαθητῶν Αὐτοῦ. Ὡς τέκνα ὀφείλομεν μιμεῖσθαι τὸν Οὐράνιον Πατέρα καὶ ἕπεσθαι τοῖς ἴχνεσι τοῦ δι' ἡμᾶς σταυρωθέντος Κυρίου».

Αἱ ἐπιστολαὶ πρὸς τὸν κλῆρον 5, 12, 38, 40 περιέχουσιν ὡραίας παραινέσεις τοῖς κληρικοῖς.

β] Διὰ τοὺς παρθενεύοντας τὸ σύγγραμμα de habitu virginum (περὶ τῆς τῶν παρθένων στολῆς) ἐστι πλῆρες θερμότητος, ἐπαγωγὸν καὶ περιέχει ὡραίας ἰδέας καὶ ἐξαιρέτους κανόνας(1). «Αἱ παρθένοι, λέγει, εἰσι τὰ ἄνθη τοῦ θείου σπόρου, τὸ κόσμημα καὶ ἐγκαλλώπισμα τῆς πνευματικῆς χάριτος . . . . . τὸ ἀπεικόνισμα τοῦ Θεοῦ, ἐν ᾧ ἀπεικονίζεται ἡ ἁγιότης τοῦ Κυρίου, ἡ ἐκλεκτοτέρα μερὶς τοῦ ποιμνίου τοῦ Ἰησοῦ Χριστοῦ. Ἐπ' αὐταῖς χαίρει ἡ Ἐκκλησία, καὶ ἐν αὐταῖς δαψιλῶς ἀκμάζει τῆς μητρὸς Ἐκκλησίας ἡ ἔνδοξος εὐκαρπία· καὶ ὅσῳ μᾶλλον αὐξάνεται ὁ ἀριθμὸς τῶν εἰς τὸν Κύ-

(1) Τοῦ συγγράμματος τούτου ποιεῖται μνείαν ὁ Πόντιος (vit. Cypr. c. XIII.), ὁ Ἱερώνυμος (epist. 18 ad Eustoch.—epist. 97), καὶ ὁ Αὐγουστῖνος (de doctr. christiana IV. 21).

ριον καθιερουμένων παρθένων, τοσούτῳ μᾶλλον αὐξάνεται ἡ χαρὰ τῆς μητρός» (§ 1 — 3). Ἀλλ' ὅσῳ εὐγενέστερόν ἐστι τὸ ἄνθος, τοσούτῳ μᾶλλον πεφυλαγμένως καὶ προσεκτικῶς φυλακτέον αὐτὸ (§ 4 — 6). Ὁ ἅγιος Κυπριανὸς κατ' ἐξοχὴν παραινεῖ τηρεῖν ἁπλότητα ἐν τῇ ἐνδυμασίᾳ (§ 7 — 17)· καὶ δίδωσιν ἄλλους τινὰς κανόνας (18 — 24) [*]. Ὠφέλιμοι διδασκαλίαι ταῖς παρθένοις ὑπάρχουσι καὶ ἐν τῇ πρὸς Πομπώνιον ἐπιστολῇ (epist. IV).

γ] Ἡ πρὸς τοὺς πάσχοντας ἀγάπη προὔτρεψε τὸν ἅγ. Κυπριανὸν γράψαι τρία ὡραῖα συγγράμματα: de Bono patientiæ (περὶ τοῦ ἀγαθοῦ τῆς ὑπομονῆς), de Opere et eleemosynis (περὶ ἔργων καὶ ἐλεημοσύνης) καὶ de Mortalitate (περὶ τοῦ θνητοῦ). Ἐν τῷ πρώτῳ συγγράμματι δείκνυνται διὰ παραδειγμάτων καὶ ῥήσεων τῆς ἁγίας Γραφῆς ἡ ἁγιότης καὶ τὰ πλεονεκτήματα τῆς ἐν πρᾳότητι ὑπομονῆς καὶ περιγράφονται τὰ λυπηρὰ ἐπακόλουθα τῆς ἀνυπομονησίας. Περὶ τῆς αὐτῆς ὑποθέσεως πραγματεύεται καὶ ἐν τῇ πρὸς τὸν Ἰουβαϊνὸν ἐπιστολῇ. Ἐν τῷ δευτέρῳ συγγράμματι, ὅπερ ἀνέγνωσαν καὶ οἱ ἀρχαῖοι [1], ὁ ἅγιος Κυπριανὸς λέγει, ὅτι ὁ σκοπὸς τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ ἦν τὸ ἀνορθῶσαι τὸν ἄνθρωπον ἀπὸ τῆς πτώσεως αὐτοῦ· ὅπως δὲ διατηρήσῃ αὐτόν, ἅπαξ ἀνορθωθέντα, ἐπὶ τοῦ ἠθικοῦ αὐτοῦ ὕψους, ἐνετείλατο αὐτῷ ποιεῖν ἔργα ἐλέους, οἷς καθαίρονται αἱ μετὰ τὸ βάπτισμα ἁμαρτίαι. Αἱ μὲν πρὸ τοῦ βαπτίσματος ἁμαρτίαι ἀποπλύνονται τῷ αἵματι τοῦ Ἰησοῦ Χριστοῦ, αἱ δὲ μετὰ ταῦτα, τοῖς ἔργοις τῆς ἀγάπης. Οὕτως ἐνετείλατο ὁ Κύριος, οὕτω διέταξαν οἱ Προφῆται, καὶ αἱ πράξεις τῶν Ἀποστόλων ἐν τῇ Καινῇ Διαθήκῃ ἐπεκύρωσαν (§ 1 — 8). Ὁ φόβος δέ, μὴ ἐκ τούτου στερήσῃ τις τὰ τέκνα τῆς περιουσίας, ἐστὶ μάταιος·

[*] Ἡ φράσις τοῦ βιβλίου τούτου λέγει ὁ σοφὸς J.-A. Moehler, ἐστὶ πλήρης θερμότητος καὶ ἀξίας· ἡ γραφικὴ εὐγλωττία τοῦ συγγραφέως ἐκτίθεται ἐν αὐτῷ ἐν ἁπάσῃ αὐτῆς τῇ δυνάμει· ἡ ἀρετὴ τῆς χριστιανικῆς παρθενίας ἀναπτύσσεται ὑπὸ τὰς διαφόρους σχέσεις τοῦ δόγματος, τῆς ἠθικῆς καὶ τοῦ ὡραίου. Τὸ σύγγραμμα τοῦτο τοίνυν ἐστὶ πάνυ σπουδαῖον ὡς πρὸς τὸ μέρος τοῦτο τῆς ἐκκλησιαστικῆς εὐταξίας.

[1] Pont. ibid. — Hieron. ep. LIV. ad Pammach. — August. c. Julianum II. 8. ad Bonifac. IV. 8.

διότι τὰ πάντα ἐξαρτῶνται ἐκ τῆς θελήσεως τοῦ Θεοῦ. Ἐάν τις ἔχῃ πολλὰ τέκνα, ὀφείλει διὰ δαψιλῶν ἐλεημοσυνῶν ἐμπεδοῦν αὐτοῖς τὴν χάριν τοῦ Θεοῦ καὶ συνάγειν αὐτοῖς παρὰ τῷ Θεῷ κεφάλαιον λυσιτελὲς (§ 9 — 21). Ὁ καιρός, βραχὺς ὤν, οὐκ ἐπιτρέπει ἀναβάλλειν τὴν ἐκτέλεσιν τῶν ἀγαθῶν ἔργων. Τὸ δὲ ἀγαθοεργεῖν ἐστι λίαν ὑψηλόν· ἐστὶ θρίαμβος τῶν Ἀγγέλων, νίκη κατὰ τοῦ Διαβόλου, ἄνευ δὲ τοῦ μαρτυρικοῦ ἀγῶνος προμηθεύεται τὸν στέφανον. Ὁ ἀγαθοεργῶν μιμεῖται τὸν Οὐράνιον Πατέρα. Ὁ Κύριος σαφῶς ἀπεφήνατο, ὅτι ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως ἐρωτήσει περὶ τῶν ἔργων τῆς ἐλεημοσύνης (§ 22 — 26) [*]. Ἐν τῇ περὶ τοῦ θνητοῦ πραγματείᾳ, παραινῶν μὴ ἀθυμεῖν ἐπὶ τῷ κατὰ τὸ 252^{ον} ἔτ. ἐνσκήψαντι λοιμῷ, ἀλλὰ βοηθεῖν ἀλλήλοις ἄνευ διακρίσεως ἐθνικῶν τε καὶ πιστῶν, ἐξεικονίζει ζωηροῖς χρώμασι τὸ μεγαλεῖον τοῦ χριστιανοῦ, καταφρονοῦντος τῶν κινδύνων ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας [α]. Περὶ τῆς αὐτῆς ὑποθέσεως ὁ Θεῖος Πατὴρ πραγματεύεται ἐν ταῖς ἐπιστολαῖς 7 καὶ 14.

[*] Αἱ τοσοῦτον λαμπραὶ περὶ ἐλεημοσύνης διδασκαλίαι τοῦ ἁγίου Κυπριανοῦ οὐκ ἔμειναν ἄγονοι· ἡ ἐκκλησις εὗρεν ἠχὼ μεταξὺ τῶν πιστῶν τῆς Καρχηδόνος. Ὅτε δὲ περὶ τὸν χρόνον, καθ᾽ ὃν ἔγραφε τὸ βιβλίον τοῦτο, ἐπιδρομὴ βαρβάρων ἔρριψεν εἰς τὰ δεσμὰ μέγαν ἀριθμὸν χριστιανῶν, τὸ ἀργύριον συνέρρευσε πανταχόθεν πρὸς λύτρωσιν τῶν αἰχμαλώτων. In captivis fratribus nostris contemplandus est Christus, et redimendus de periculo captivitatis, qui nos redemit de periculo mortis. «Ἐν τοῖς αἰχμαλώτοις ἀδελφοῖς ἡμῶν θεωρητέον τὸν Χριστὸν καὶ ἐξαγοραστέον τῆς αἰχμαλωσίας τὸν ἐξαγοράσαντα ἡμᾶς τοῦ κινδύνου τοῦ θανάτου» (epist. LX ad episcop. Numidas, de redemptione fratrum ex captivitate barbarorum). Ἐξαποστείλας τοῖς ἐπισκόποις τῆς Νομαδικῆς τὸ ποσὸν 100,000 σηστερτίων [sestertium] ὅπερ προσήνεγκε τὸ ποίμνιον αὐτοῦ, ἀνέπτυξεν ἐκ νέου τὰς μεγάλας ἰδέας, ἃς ἐξέθηκεν ἐν τῷ περὶ Ἐλεημοσύνης βιβλίῳ. Τοιούτῳ τρόπῳ ἡ διδασκαλία ἐπεσφραγίζετο ὑπὸ τῶν ἔργων, καὶ ὁ χριστιανικὸς λόγος, ἐπικρατῶν τῆς ἐθνικῆς φιλαυτίας, ἐνέβαλλε ταῖς καρδίαις τὴν φλόγα τῆς προθυμίας. Σ. Μ.

[α] Ἀναζωπυρήσας θαυμασίως ὁ θεῖος Κυπριανὸς τὴν πίστιν ἐν τῇ ψυχῇ τοῦ ποιμνίου αὐτοῦ, περαίνει

δ] Τὸ *de lapsis* (περὶ ἐκπεπτωκότων) βιβλίον περιέχει ἐξαιρέτους διδασκαλίας περὶ μετανοίας. Ὁ Ποιμὴν α'] θρηνεῖ ἐν αὐτῷ ἐπὶ τῇ πτώσει τῶν πεσόντων ἐν τῇ ἁμαρτίᾳ (§ 1 — 4)· β'.] ἐξετάζει τὰς αἰτίας τῆς πτώσεως καὶ ὡς κυρίαν αἰτίαν ἡγεῖται τὴν ἔλλειψιν μετανοίας ἐπὶ ταῖς προτέραις ἁμαρτίαις (§ 5 — 16)· ἀναφέρει παραδείγματα ἀληθοῦς μετανοίας καὶ περιγράφει πῶς δεῖ μετανοεῖν

τὴν ποιμαντορικὴν αὐτοῦ ἐπιστολὴν διὰ τοῦ ἑπομένου ἀξιοσημειώτου ἐπιλόγου: «Ὀφείλομεν, προσφιλέστατοι ἀδελφοί, σκοπεῖν καὶ συχνῶς ἐν νῷ ἔχειν, ὅτι ἀπεταξάμεθα τῷ κόσμῳ, καὶ ὅτι, ὡσεὶ ξένοι καὶ παρεπίδημοι, διάγομεν ἐν αὐτῷ. Ἀσπασώμεθα τὴν ἡμέραν, ἣ εἰσάξει ἕκαστον ἡμῶν εἰς τὴν γαληνιαίαν αὐτῆς διαμονήν, καὶ ἥ τις ὁδηγήσει ἡμᾶς, ἀπαλλαγέντας τοῦ κόσμου καὶ τῶν δεσμῶν τῆς σαρκός, εἰς τὴν ἐλευθερίαν τῶν τέκνων τοῦ Θεοῦ, καὶ ἀνοίξει ἡμῖν τὴν εἴσοδον εἰς τὴν οὐράνιον βασιλείαν. Τίς ξένος οὐ κατασπεύδει ἐπανελθεῖν εἰς τὴν ἑαυτοῦ πατρίδα; . . . Ὁ Παράδεισός ἐστιν ἡ ἡμετέρα πατρίς· οἱ Πατριάρχαι εἰσὶν οἱ ἡμέτεροι γονεῖς. Διὰ τί οὖν οὐκ ἐπειγόμεθα καὶ οὐ τρέχομεν, ἵνα δυνηθῶμεν ἰδεῖν τὴν ἡμετέραν πατρίδα καὶ ἀσπάσασθαι τοὺς γονεῖς ἡμῶν; Μέγας ἀριθμὸς φίλων ἡμῶν, ἀδελφῶν, τέκνων, περὶ μὲν τῆς ἑαυτῶν σωτηρίας βεβαίων ὄντων, περὶ δὲ τῆς ἡμετέρας μεριμνώντων, περιμένει ἡμᾶς ἐκεῖ. Οἵα χαρὰ ἔσται ἐκείνοις τε καὶ ἡμῖν ἰδοῦσιν ἀλλήλους καὶ ἀσπασαμένοις! Ὢ τῶν οὐρανίων ἡδονῶν, ἐφ' ὧν οὐδεμίαν τοῦ λοιποῦ ὁ θάνατος ἕξει ἐπιρροήν! Ὢ τῶν ὑψίστων μακαριοτήτων, αἳ διαρκέσουσι καθ' ἅπασαν τὴν αἰωνιότητα! Ἐκεῖ εὑρήσομεν καὶ τὸν ἔνδοξον χορὸν τῶν Ἀποστόλων, καὶ τὸν σύλλογον τῶν Προφητῶν ἀγαλλομένων, καὶ τὸν ἀναρίθμητον λεγεῶνα τῶν Μαρτύρων ἐστεμμένων ἐπὶ τοῖς ἀγῶσι καὶ ταῖς νικηφόροις ἀλγηδόσιν. Ἐκεῖ εὑρήσομεν θριαμβευούσας τὰς παρθένους ἐκείνας, αἳ κατεδούλωσαν τὰς σαρκικὰς ἐπιθυμίας διὰ τῆς δυνάμεως τῆς ἐγκρατείας αὐτῶν· τοὺς οἰκτίρμονας ἐκείνους, οἳ διὰ τῶν τροφῶν καὶ τῶν δωρεῶν, ἃς παρεῖχον τοῖς πτωχοῖς, ἐξεπλήρωσαν τὰ ἔργα τῆς δικαιοσύνης, καὶ οἵ, τηρήσαντες τὰς ἐντολὰς τοῦ Κυρίου, ἀντήλλαξαν τὴν ἐπίγειον περιουσίαν τῶν οὐρανίων θησαυρῶν. Πρὸς αὐτούς, προσφιλέστατοί μοι ἀδελφοί, σπεύδωμεν μετ' ἄκρας προθυμίας. . . . Ἴδοι ὁ Θεὸς τοῦτο ἡμῶν τὸ νόημα! Ἴδοι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῇ καρδίᾳ ἡμῶν ταύτας τὰς διαθέσεις τῆς πίστεως»·—«Ἐν τῷ συγγράμματι τούτῳ λέγει ὁ Moehler, καθορᾶται μεγαλεῖον ψυχῆς, ἰσχὺς πίστεως καὶ εὐθάρσεια κ.τ.λ. . . . Σ. Μ.

(§ 17 — 36). «Ὁ Θεός, λέγει, ἐστὶν ἐλεήμων καὶ ἀγαθός, ὡς Πατήρ· ἀλλὰ φοβητέον Αὐτὸν ὡς ἐπίγειον κριτήν. Εἰ βαρέως ἁμαρτάνομεν, ὀφείλομεν θρηνεῖν πικρῶς· Ἡ βαθεῖα πληγὴ ἐπιμελῶς καὶ ἐπὶ μακρὸν θεραπευτέα. Ἐξισούσθω ἡ μετάνοια τῷ μεγέθει τῆς ἁμαρτίας» (§ 35).

§ 59. *Ἀπολογητικὰ συγγράμματα.*

Τὰ κατὰ τῶν ἐθνικῶν ἀπολογητικὰ συγγράμματά εἰσι τάδε: ad Demetrianum (πρὸς Δημητριανὸν) καὶ de idolorum vanitate (περὶ τῆς τῶν εἰδώλων ματαιότητος). Τὸ τελευταῖον ἐν πολλοῖς οὐ θεωρεῖται πρωτότυπον. Ἐν τῷ πρώτῳ τῶν τριῶν αὐτοῦ μερῶν ποιεῖται λόγον περὶ τῆς ἀρχῆς καὶ ματαιότητος τῶν εἰδώλων (§ 1—7)· ἐν τῷ δευτέρῳ περὶ τοῦ Ἑνιαίου τοῦ Θεοῦ καὶ περὶ τῆς Ἀποκαλύψεως (8 — 9)· ἐν τῷ τρίτῳ περὶ τῆς Θεότητος καὶ τῆς θείας ἐνανθρωπήσεως (10 — 15) [*]. Ἡ περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ

[*] Ἐκθεὶς ὁ Θεῖος πατὴρ τὴν ἀποστολὴν τοῦ ἰουδαϊκοῦ λαοῦ καὶ τὴν ποινὴν αὐτοῦ, δείκνυσι τοῖς ἐθνικοῖς διὰ τίνος ὁδοῦ δύναταί τις ἐφικέσθαι τῆς σωτηρίας: «Ὁ Θεὸς προείρηκεν, ὅτι, κλίνοντος τοῦ αἰῶνος καὶ τοῦ τέλους τοῦ κόσμου ἐγγὺς ἤδη ὄντος, ἔμελλεν ἐκλέξαι μεταξὺ πάντων τῶν ἐθνῶν λαὸν προσκυνητῶν, λαὸν πιστότερον καὶ εὐπειθέστερον, ᾧ ἡ Εὐσπλαγχνία Αὐτοῦ ἤνοιξεν ἂν τὴν πηγὴν τῶν χαρίτων, ἣν ἀπώλεσαν οἱ Ἰουδαῖοι διὰ τὴν τυφλότητα αὐτῶν Τούτων οὖν τῶν δωρεῶν διαιτητὴ καὶ ταύτης τῆς εὐταξίας (discipli næ) διανομεὺς ἀπεστάλη ὁ Λόγο καὶ Υἱὸς τοῦ Θεοῦ, ὃς ὑφ' ἁπάντων τῶν Προφητῶν Φωτιστὴς καὶ Διδάσκαλος τοῦ ἀνθρωπίνου γένους προεκηρύσσετο. Οὗτός ἐστιν ἡ ἀρετὴ τοῦ Θεοῦ, οὗτος ὁ Λόγος, οὗτος ἡ Σοφία Αὐτοῦ καὶ Δόξα. Κατέρχεται ἐν τῷ κόλπῳ τῆς Παρθένου, καὶ σάρκα τῇ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος περιβάλλεται· ὁ Θεὸς ἑνοῦται τῷ ἀνθρώπῳ. Οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν, οὗτός ἐστιν ὁ Χριστός, ὁ Μεσίτης τοῦ Πατρὸς Αὐτοῦ καὶ ἡμῶν. Λαμβάνει τὴν ἀνθρωπίνην μορφήν, ἵνα ὁδηγήσῃ τὸν ἄνθρωπον πρὸς τὸν Πατέρα Αὐτοῦ . . . . Τούτῳ παρακολουθοῦμεν, τούτῳ ἑπόμεθα, τοῦτον ἔχομεν ὁδηγόν, ἄρχοντα τοῦ φωτός, αἴτιον τῆς σωτηρίας. Ὑπισχνεῖται τὸν Οὐρανὸν καὶ τὸν Πατέρα τοῖς ζητοῦσιν καὶ πιστεύουσιν εἰς Αὐτόν. Ὅ,τι ὁ Χριστός, ἐσόμεθα καὶ οἱ χριστιανοί, μιμούμενοι τὸν Χριστὸν» (de vanit,

Χριστοῦ διδασκαλία ἐκτίθεται μετὰ μεγίστης ἀκριβείας. Ἐνταῦθα εἰς ἀπόδειξιν, ὅτι ὁ Χριστός ἐστιν Υἱὸς τοῦ Θεοῦ, καλῶν εἰς μαρτυρίαν καὶ αὐτοὺς τοὺς ἐθνικούς, λέγει, ὅτι τῇ δυνάμει Αὐτοῦ ἐδιώκοντο οἱ δαίμονες ἐκ τῶν δαιμονιώντων[1]. Τῷ δὲ Δημητριανῷ γράφει ὑπὲρ τοῦ χριστιανισμοῦ, ὅτι οὐκ αὐτός, ἀλλ᾽ ἡ διαφθορὰ καὶ αἱ ἀναιδεῖς ἀδικίαι τοῦ ἐθνισμοῦ εἰσιν ἡ αἰτία τῶν τῇ Αὐτοκρατορίᾳ ἐπελθουσῶν συμφορῶν, ἐλέγχει τὰς ἀλόγους συκοφαντίας τῶν ἐθνικῶν κατὰ τῶν χριστιανῶν, δείκνυσι τὰς ὑψηλὰς ἰδιότητας τῆς χριστιανικῆς πίστεως καὶ ἐξεικονίζει τὸ εὐτελὲς τοῦ ἐθνισμοῦ. Ἡ γνησιότης τοῦ συγγράμματός ἐστιν ἀναμφήριστος [2].

Τὰ τρία βιβλία τῶν κατὰ Ἰουδαίων μαρτυριῶν (Testimoniorum libri tres adversus Judaeos) περιέχουσιν ἀπολογίαν τῆς τε πίστεως καὶ τοῦ βίου τῶν χριστιανῶν κατὰ τῶν σκληροτραχήλων Ἰουδαίων. Ὁ Ἱερώνυμος καὶ ὁ Αὐγουστῖνος ἐχρῶντο μαρτυρίαις ἐξ αὐτῶν ἐν ταῖς πρὸς τοὺς Πελαγιανοὺς ἔρισιν αὐτῶν [3]. Ἅπαν τὸ σύγγραμμα συνίσταται ἐκ ῥήσεων τῆς ἁγίας Γραφῆς μετὰ βραχειῶν ἑρμηνειῶν. Ἐν τῷ πρώτῳ βιβλίῳ δείκνυται διὰ τῶν λόγων τῆς ἁγίας Γραφῆς, ὅτι προώριστο ἡ κατάλυσις τοῦ νόμου τῶν Ἰουδαίων, ὅτι ὁ Χριστὸς ἔμελλεν ἐγεῖραι νέον ναόν, νέας θυσίας, νέαν ἱερωσύνην, νέαν Ἐκκλησίαν, ὅτι οἱ ἐθνικοὶ ἔμελλον πιστεῦσαι εἰς Χριστόν, τὸν μόνον Σωτῆρα τῶν ἀνθρώπων. Ἐν τῷ δευτέρῳ βιβλίῳ ἀναφέρονται αἱ μαρτυρίαι τῶν Προφητῶν περὶ τοῦ ἐπιγείου βίου τοῦ Χριστοῦ Κυρίου, περὶ τῶν ἔργων, ἃ ἀπέκειτο Αὐτῷ τελέσαι ἐπὶ τῆς γῆς. Τὸ τρίτον βιβλίον περιέχει μαρτυρίας κατ᾽ ἐξοχὴν ἠθικῆς ὑποθέσεως. Τὸ τελευταῖον τοῦτο

idol., x, xv.). Ἀδύνατον ἂν ἦν βεβαιώσασθαι μετὰ μείζονος σαφηνείας καὶ δυνάμεως τὴν θεότητα τοῦ Ἰησοῦ Χριστοῦ, τὴν ἕνωσιν τῶν δύο φύσεων, τῆς θείας καὶ ἀνθρωπίνης, ἐν τῷ ἐνανθρωπήσαντι Λόγῳ. Σ. Μ.

(1) Τοῦ συγγράμματος τούτου ποιοῦνται μνείαν ὁ Αὐγουστῖνος (de unic. baptism. IV. 6. edit. Maur. T. ix. p. 530.) καὶ ὁ Ἱερώνυμος (epist LXXXIII ad Magnum).

(2) Lactant. inst. V, 4. Hieron. epist. LXXXIII ad Magnum. Pont. in vit. Cypr. c. iv.

(3) Hieron. Dial. I contr. Palagian.-August. contr. duas Pelag. epist. L. iv. 8, 9, 10.

μέρος ἐστὶ τὸ ἄριστον τοῦ συγγράμματος. Αἱ ἠθικαὶ διδασκαλίαι εἰσὶ τὰ μάλιστα ἰσχυραί, ἐν ᾧ οὐ δυνάμεθα εἰπεῖν ταὐτὸ περὶ ἁπασῶν τῶν μαρτυριῶν τῶν πρώτων μερῶν, π. χ. περὶ τοῦ ψαλμ. μβ΄. 2. Ἡσ. νγ΄. 1. νθ΄. 1. Ἐν τούτοις ὁ Βαλούσιος σημειοῖ, ὅτι τὸ σύγγραμμα τοῦτο περιέχει κατ᾽ ἄλλα μὲν χειρόγραφα πλείους, κατ᾽ ἄλλα δὲ ἐλάττους μαρτυρίας.

§ 60. *Κατὰ Αἱρέσεως καὶ Σχίσματος*: **de unitate Ecclesiæ** *(περὶ ἑνότητος τῆς Ἐκκλησίας)· παρατηρήσεις εἰς τοῦτο τὸ σύγγραμμα καὶ εἰς τὴν λύσιν τοῦ ζητήματος περὶ τοῦ βαπτίσματος τῶν αἱρετικῶν·* **liber ad Donatum, s. de gratia Dei** *(βιβλίον πρὸς Δόνατον, ἢ περὶ χάριτος Θεοῦ)· διδασκαλία περὶ ἄλλων ἀντικειμένων τῆς πίστεως· ὑποβολιμαῖα συγγράμματα.*

Τὰ ἀπὸ τῶν αἱρέσεων καὶ τῶν σχισμάτων ἐπὶ τοῦ ἁγίου Κυπριανοῦ ἐπισκήψαντα τῇ Ἐκκλησίᾳ δεινὰ τοσαῦτα ἦσαν, ὥστε ἀδύνατον ἦν μὴ σφόδρα ἀλγῆσαι ἐπὶ ταῖς ἐξ αὐτῶν προσγιγνομέναις βλάβαις. «Ἡ αἵρεσις, ἔγραφεν ὁ Κυπριανός, ἐστὶ συναγωγὴ τοῦ Σατανᾶ»(1). Τὴν γένεσιν τῶν αἱρέσεων καὶ τῶν σχισμάτων ἀπεδίδου εἰς τρεῖς κυρίως αἰτίας—εἰς τὴν ἀλαζόνα φιλαυτίαν, εἰς τὴν ἀπείθειαν τῇ ἐκκλησιαστικῇ ἐξουσίᾳ, καὶ εἰς τὸ πρὸς τὰς ἔριδας ἀκατάσχετον πάθος. «Ἰδοὺ ἡ ἀρχὴ τῶν αἱρετικῶν καὶ ἡ γένεσις τῶν κακοφρόνων σχισματικῶν· ἐπιθυμοῦσι κολακεύειν ἑαυτοὺς καὶ μεθ᾽ ὑπερηφανίας καταφρονοῦσι τῶν ἐπισκόπων (2). Ἡ ἀνυπομονησία ποιεῖ τοὺς αἱρετικούς» (3). Ἐν τῷ **de unitate Ecclesiæ** βιβλίῳ, συγγραφέντι, ὡς εἴδομεν, ἕνεκα τοῦ σχίσματος, τοῦ γενομένου ἐν Ῥώμῃ ὑπὸ τοῦ Ναυατιανοῦ, ἐσπούδασεν ἀναχαιτίσαι τὴν τόλμην τῶν βουληθέντων συστῆσαι κεχωρισμένας κοινότητας, μὴ ἐξαρτωμένας ἀπὸ τῆς νομίμου ἱεραρχικῆς διοικήσεως. Ἐν τῇ ἀρχῇ τοῦ συγγράμματος παραινεῖ συνενοῦν τὴν ἁπλότητα τῇ σοφίᾳ, φυλάττεσθαι ἀπὸ τῶν μυστικῶν διαβολῶν τοῦ Σατανᾶ — τῶν αἱρέσεων καὶ τῶν σχισμάτων, καὶ προβάλλεται τὴν κυρίαν ἔννοιαν, ὅτι ἡ Ἐκ-

(1) Epist. LXXV. ed Venet. «Οὐδὲν ἄλλο ἐστὶ παρ᾽ αὐτοῖς, ἢ ἀπιστίαι καὶ βλασφημίαι, καταφρονήσεις πρὸς πᾶν ἅγιον καὶ ἔχθραι πρὸς τὴν ἀλήθειαν». Ep. LV, LIX.

(2) Ep. LXV. πρβλ. ep. LV.

(3) De patient pag. 477.

κλησία τοῦ Θεοῦ ἐστι μία. Ἡ ἔννοια αὕτη α΄] δείκνυται ἐκ τῶν λόγων τοῦ Σωτῆρος πρὸς τὸν Ἀπόστολον Πέτρον (Ματθ. ις΄. 18), ἐκ τῶν τοῦ Παύλου: «ἓν σῶμα καὶ ἓν πνεῦμα» (Ἐφεσ. δ΄. 4), καὶ ἐξ ἄλλων τινῶν ῥήσεων τῆς ἁγίας Γραφῆς. «Ἡ ἐπισκοπὴ μία, εἰ καὶ ἕκαστος ἐπίσκοπος ἔχει τὸ μέρος αὐτοῦ· ἡ Ἐκκλησία ἐπ᾿ ἴσης μία, καίπερ τῶν μελῶν αὐτῆς διὰ τῆς ἐξαπλώσεως τῆς πίστεως γενομένων πολυαρίθμων» (1)· β΄.] εἰς τὴν ἔνστασιν: ὑπάρχουσι κεχωρισμέναι κοινότητες, ἀποκρίνεται, ὅτι εὐθὺς ἅμα λάβωσιν ὕπαρξιν κοινωνίαι ἐξ ἀνθρώπων κακοήθων καὶ κακοφρόνων, οὐ κατὰ τὸ πνεῦμα τοῦ Χριστοῦ, αὐταὶ ἀφ᾿ ἑαυτῶν ἀποχωρίζονται τῆς Ἐκκλησίας. Εἰς δὲ τοὺς λόγους τῶν ἐνισταμένων: «Οὗ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν» (Ματθ. ιη΄.20) ἀποκρίνεται, ὅτι ὑπὸ τοὺς λόγους τούτους ἐννοοῦνται ἐνταῦθα οἱ συνερχόμενοι εἰς προσευχὴν ἐν πνεύματι ταπεινώσεως καὶ ἀγάπης ἐν τῷ περιβόλῳ τῆς Ἐκκλησίας, καὶ ἑπομένως οὐκ ἐννοοῦνται οἱ ἐξ ὑπερηφανίας συνιστάντες τὴν κοινωνίαν αὐτῶν ἐκτὸς τῆς Ἐκκλησίας. Δεικνὺς δὲ τὸ βάρος τῆς ἁμαρτίας τῶν εἰσαγόντων εἰς τὴν Ἐκκλησίαν διαιρέσεις, ἐφαρμόζει ἐπ᾿ αὐτοὺς τὴν προφητικὴν ῥῆσιν: «Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι . . .» (Β΄. Τιμόθ. γ΄. 1—9), λέγων προδρόμους αὐτῶν τὸν Κορέ, τὸν Δαθὰν καὶ τὸν Ἀβειρών. Τέλος δὲ ὑποδεικνύς, ὅτι τὸ παράδειγμα οἱουδήποτε οὐδένα ὀφείλει παρορμᾶν πρὸς χωρισμὸν ἀπὸ τῆς Ἐκκλησίας, παραινεῖ μετὰ πάσης ἀγάπης τηρεῖν τὴν ἑνότητα τῆς Ἐκκλησίας. Αὕτη ἐστὶν ἡ ὑπόθεσις τοῦ περὶ ἑνότητος τῆς Ἐκκλησίας βιβλίου τοῦ ἁγίου Κυπριανοῦ.

Τὸ σύγγραμμα τοῦτο ἰσχυρῶς ἐνήργησεν ἐπὶ τοὺς συγχρόνους τῷ Κυπριανῷ. Καὶ μετὰ ταῦτα δ᾿ ἐφείλκυσεν ἐφ᾿ ἑαυτὸ ἰδιάζουσαν προσοχήν. Οὐ μόνος ὁ Βελλαρμῖνος ὑπερήσπισε τὸ ἀξίωμα :

(1) Τὸ αὐτὸ λέγει in epist. ad Antonian. LV: «Cum sit à Christo una Ecclesia per totum mundum in multa membra divisa, item episcopatus unus, episcoporum multorum concordi numero sitate diffusus».

ὅτι Extra Ecclesiam Romanam salus nulla (οὐδεμία σωτηρία ἐκτὸς τῆς ρωμαϊκῆς Ἐκκλησίας). Ἦν χρόνος, καθ' ὃν οἱ ὑπὸ τοῦ πνεύματος τοῦ χρόνου προκατειλημμένοι, ἡρμήνευσαν τὸ σύγγραμμα τοῦτο κατὰ τὸ πνεῦμα τοῦ χρόνου αὐτῶν. Ἦν δὲ καὶ τοιοῦτος χρόνος, ὅτε ἠνάγκασαν τὸν Κυπριανὸν καταγράψαι ἐν τῷ βιβλίῳ τούτῳ λέξεις, ἃς οὐδ' ἐφαντάσθη. Ἰδοὺ οἱ λόγοι τοῦ Κυπριανοῦ μετὰ τῶν τολμηρῶν προσθηκῶν (ἐν τῇ ἐκδόσει τοῦ Μανουτίου καὶ Παμελίου). «Ego tibi dico, quia tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam, et portæ inferorum non vincent eam. Et tibi dabo claves regni coelorum; et quæ ligaveris super terram, erunt ligata et in cœlis; et quaecumque solveris super terram, erunt soluta et in coelis» Math. XVI, 18, 19. [et iterum eidem post resurrectionem suam dicit: pasce oves meas». Joan. XXI. 15. Super illum unum aedificat Ecclesiam suam, et illi pascendas mandat oves suas]. Et quamvis Apostolis omnibus post resurrectionem suam parem potestatem tribuat et dicat: Sicut misi me Pater . . . Joan. XX, 21—23, tamen, ut unitatem manifestaret (unam cathedram constituit), unitatis ejusdem originem ab uno incipientem sua auctoritate disposuit. Hoc erant utique et caeteri Apostoli, quod fuit Petrus, pari consortio praediti et honoris et potestatis, sed exordium ab unitate proficiscitur, et primatus Petro datur, ut una Christi Ecclesia [et cathedra una] monstretur . . . . Qui Ecclesiæ renititur et resistit [qui cathedram Petri, super quem fundata est Ecclesia deserit], in Ecclesia se esse confidit? . . . .» Ὁ Βαλούσιος ἀπέδειξε τρανῶς, ὅτι αἱ λέξεις, αἱ ἐνταῦθα ἐν παρενθέσεσι καταχωρισθεῖσαι, εἰσήχθησαν εἰς τὸ κείμενον τοῦ Κυπριανοῦ ὑπὸ ξένης χειρός. Οὐ μόνον ἐν ταῖς πρὸ τοῦ Μανουτίου ἐκδόσεσιν, ἀλλὰ καὶ ἐν ἅπασι τοῖς 34 χειρογράφοις, ὧν δύο ἐγράφησαν πρὸ χιλίων καὶ ἐπέκεινα ἐτῶν, οὐχ ὑπάρχουσιν αἱ περὶ τῆς Καθέδρας καὶ τοῦ Πρωτείου τοῦ Πέτρου λέξεις. Ἑπτὰ τῶν χειρογράφων τούτων εἰσὶ Βατικανά, καὶ ἐν αὐτοῖς ὁ Λατίνιος εἶδε τὰς μνημονευθείσας προσθήκας οὐκ ἐν αὐτῷ τῷ κειμένῳ, ἀλλ' ἐν τῇ ὤᾳ αὐτοῦ, ἔνθα ἐγράφησαν ὑπὸ διαφόρων χειρῶν διαφόρων χρόνων, καὶ ἑπομένως αἱ προσθῆκαι ἐγένοντο ἡ μία

μετὰ τὴν ἄλλην οὐκ ἐν τῷ αὐτῷ χρόνῳ (¹). Ἐντεῦθεν πρόδηλον τίνι τρόπῳ ἐδημιουργήθη ὁ Θρόνος καὶ τὸ Πρωτεῖον τοῦ Πέτρου ἐν Ρώμῃ διὰ τοὺς Ρωμαίους ἐπισκόπους. Ὁ Κυπριανὸς ἔγραφεν, ὅτι « ἡ Ἐκκλησία ἐστὶ μία καὶ ἡ ἐπισκοπικὴ ἐξουσία μία, καίπερ τῶν μελῶν αὐτῆς διὰ τῆς ἐξαπλώσεως τῆς πίστεως γενομένων πολυαρίθμων, ἡ ἐπισκοπὴ μία, εἰ καὶ ἕκαστος ἐπίσκοπος ἔχει μέρος ἐν αὐτῇ.» Ἐν δὲ τῇ Ρώμῃ ἤρξαντο δοξάζειν καὶ γράφειν, ὅτι Ἐκκλησία τοῦ Χριστοῦ ἐστι μόνη ἡ Ρωμαϊκή, καὶ ἄκρος ἐπίσκοπος μόνος ὁ Ρώμης. Παρὰ τῷ Κυπριανῷ ἡ τάξις τῶν ἐννοιῶν ἐστιν ἥδε: ἡ ἐπισκοπικὴ ἐξουσία ἤρξατο, ὡς λέγει, ἀφ' ἑνός, δηλ. τοῦ Πέτρου. — Ἐντεῦθεν τεκμαίρεται, ὅτι καὶ τὴν ἐπισκοπικὴν ἐξουσίαν δεῖ εἶναι μίαν, ἅπαντες δὲ οἱ ἐπίσκοποι ὀφείλουσιν εἶναι ἓν ὅλον, ὡσαύτως καὶ τὴν Ἐκκλησίαν δεῖ εἶναι μίαν. Τὸ σχίσμα τοίνυν, τὸ ὑπό τινων μελῶν τῆς κατωτέρας τάξεως εἰσαγόμενόν ἐστιν ἔργον παράνομον. Σημειωτέον δέ, ὅτι ἡ ἀπόδειξις τῆς ἑνότητος τῆς Ἐκκλησίας ἐστὶ λίαν ἀσθενής. Ἀλλ' ἐξ αὐτῆς τῆς ἀκολουθίας τῶν ἐννοιῶν γίγνεται πρόδηλον, ὅτι ὁ Κυπριανὸς οὐδοπωστιοῦν διενοήθη ποιήσασθαι λόγον περὶ τοῦ πρωτείου τῆς ἐξουσίας τοῦ Πέτρου, — τοῦτο ἦν καὶ ἐναντίον τῇ ὑποθέσει αὐτοῦ περὶ τοῦ σχίσματος, ἀπ' εὐθείας δὲ ποιεῖται λόγον μόνον περὶ τοῦ Πρωτείου τοῦ Πέτρου ὡς πρὸς τὸν χρόνον, καθ' ὃν παρέλαβε τὴν ἐξουσίαν· Πλὴν ἀλλ' ἐν Ρώμῃ οὐ μόνον τῷ Πέτρῳ ἀπέδωκαν τὸ πρωτεῖον τῆς ἐξουσίας, ἀλλὰ καὶ παντὶ ἐπισκόπῳ Ρώμης, πρὸς μείζονα δὲ σπουδαιότητα κατεσκεύασαν ἀμφοτέροις μίαν καὶ τὴν αὐτὴν Καθέδραν. Περιττὸν ἂν μακρολογεῖν περὶ τοῦ ὅτι ἡ περὶ τοῦ πρω-

(¹) Ἴδ. Balusii notae ad h. librum in edit. op. Cypriani Venetiana 1728. Rigaltii observationes ad S. Cyprianum pag. 162. Edm. Rucher. defensio libri de ecclesiastica potestate. Ὁ Βενεδικτινὸς Μαρανός, ἐκδιδοὺς τὸ πόνημα τοῦ Βαλουσίου προσηνέχθη οὐκ εὐσυνειδήτως εἰσαγαγὼν εἰς τὸ κείμενόν τινας τῶν προσθηκῶν, ἃς ἐκεῖνος ἡγήσατο ἐξοβελιστέας. Ἐν τούτοις ὁ Μαρανὸς ὁμολογεῖ καὶ αὐτὸς τοῦτο.

τείου τοῦ ἐπισκόπου Ῥώμης ἰδέα κατεπολεμήθη ὑπὸ τοῦ Κυπριανοῦ ἐν τῇ πρὸς τὸν Στέφανον διαφορᾷ ([1]).

Τὸ συμπέρασμα τῆς περὶ ἑνότητος τῆς Ἐκκλησίας ἰδέας αὐτοῦ ἐδήλωσεν ὁ ἅγιος Κυπριανὸς ἐν τῷ περὶ τοῦ βαπτίσματος τῶν αἱρετικῶν ζητήματι. «Ἡ Ἐκκλησία ἐστὶ μία, ἄρα ἐκτὸς αὐτῆς οὐκ εἰσὶ μυστήρια ([2])». Τὸ συμπέρασμά ἐστιν ὀρθόν, ὅτε ἡ μία Ἐκκλησία ἀντέχεται ἐν παντὶ τοῦ ἑνὸς πνεύματος τοῦ Χριστοῦ, ἤ, ὅπερ ταὐτόν, ὅτε τὰ μέλη αὐτῆς, ὅπου ἂν ὦσι, τελοῦσι πάντα συνῳδὰ τῷ πνεύματι τῆς πίστεως. Ἄλλως ἐδόξαζον οἱ Δονατισταί. Ὡς πρὸς τὸν χρόνον τοῦ Κυπριανοῦ, ὀφείλομεν εἰπεῖν, ὅτι αἱ βαρεῖαι συμφοραί, αἱ ἐπενεχθεῖσαι τῇ Ἐκκλησίᾳ ὑπὸ θρασέων ἀνθρώπων, καὶ αἱ διάφοραι αὐθαίρετοι ἐκθέσεις τῆς Πίστεως καθίστασαν συγγνωστὴν καὶ τὴν ὑπερβολικὴν αὐστηρότητα αὐτοῦ κατὰ τῶν τοιούτων. Τοὐλάχιστον αἱ πράξεις τοῦ Κυπριανοῦ πρὸς τῇ ὑψηλῇ ἠθικῇ ἐδήλουν μείζονα γνῶσιν τῆς πίστεως, ἢ αἱ τοῦ Στεφάνου, αὐθαιρέτως ἀνοίξαντος τὴν θύραν τῆς Ἐκκλησίας παντὶ συρφετῷ ἀνθρώπων ([3]). Μετὰ ταῦτα κατὰ τὰς ἐν Νικαίᾳ (τῷ 325) καὶ ἐν Κων-

---

([1]) Σύνοδ. ἐν Καρχηδ. τῷ 256. (Mas. I, 951): «Οὐδεὶς ἡμῶν κατέστησεν ἑαυτὸν ἐπίσκοπον ἐπισκόπων, ἢ ἠνάγκασε τοὺς συναδέλφους αὐτοῦ τυραννικῷ φόβῳ πρὸς ὑποταγήν. Ἕκαστος γὰρ ἐπίσκοπος μένει σὺν τῇ ἑαυτοῦ ἐλευθερίᾳ τῆς τε θελήσεως καὶ ἐξουσίας». Ταὐτὸ ἐν ἐπιστ. 72 ad Stephanum. Αἱ αὐταὶ ἔννοιαι ἐν ταῖς ἐπιστολαῖς 55, 59, 71, 73. Ἰδοὺ πῶς ἐδόξαζεν ὁ ἅγιος Κυπριανὸς περὶ τοῦ πρωτείου αὐτοῦ τοῦ Πέτρου: «Καὶ ὁ Πέτρος, ὃν Αὐτὸς ὁ Κύριος ἐξελέξατο πρῶτον, ὅτε πρὸς αὐτὸν ἤρισεν ὁ Παῦλος περὶ τῆς περιτομῆς, οὐ προσηνέχθη ἀσυνήθως ἢ ὑπερηφάνως, οὐκ εἶπεν, ὅτι ἔχει τὸ πρωτεῖον, καὶ ὅτι οἱ νέοι καὶ οἱ μετ' αὐτὸν ὀφείλουσιν ὑπακούειν αὐτῷ».

([2]) Ἐν τοιούτῳ πνεύματι ἐγράφησαν αἱ ἐπιστολαὶ ad Magnum, ad Januarium, ad Quintum, ad Stephanüm, ad Jubajanum, ad Pompejum, epist. 69—74.

([3]) Τινὲς τῶν ὑπερασπιστῶν τῆς ῥωμαϊκῆς καθέδρας (Ἀλέξανδρος ὁ Νατάλιος, ὁ Τιλλεμόντιος, καὶ ὁ Μαρανὸς) ἐσπούδασαν ἀποδεῖξαι, ὅτι αἱ ἀπαιτήσεις τοῦ Στεφάνου ἀνεφέροντο πρὸς αἱρετικοὺς μὴ μεταβαλόντας ἐν τῷ βαπτίσματι τὴν περὶ τοῦ μυστηρίου τούτου ἐντολήν. Ἀλλὰ μάταιος πόνος. Οἱ λόγοι τοῦ Στεφάνου εἰσὶ σαφεῖς: « si quis ergo, *quaecunque haeresi* venerit ad vos,

σταντινουπόλει (τῷ 381) συνόδου ὥρισεν ἡ Ἐκκλησία ἐπὶ τίνων αἱρετικῶν ἐπαναληπτέον τὸ βάπτισμα. Αἱ ἀποφάσεις τῶν συνόδων τοῦ ἁγίου Κυπριανοῦ καὶ μετὰ τοῦτο ἔμειναν ἐν τῷ κώδηκι τῶν Κανόνων τῆς Ἀνατολικῆς Ἐκκλησίας, κατ᾽ ἐξοχὴν δὲ διὰ τὴν σπουδαιότητα τῶν λύσεων πολλῶν ἄλλων ζητημάτων ([1]).

Ἔστι προσέτι παρὰ τῷ Κυπριανῷ σύγγραμμα περιέχον δογματικὴν ὑπόθεσιν. Τοῦτό ἐστι τὸ βιβλίον ad Donatum sive de gratia Dei (πρὸς Δόνατον ἢ περὶ χάριτος Θεοῦ). Ἐν αὐτῷ περιγράφει τὴν θαυμαστὴν δύναμιν τοῦ βαπτίσματος. «Ὅτε, λέγει, ἐκείμην ἐν τῷ σκότει καὶ τῇ βαθείᾳ νυκτί, καὶ ἐν τῷ θυελλώδει πελάγει τοῦ κόσμου τούτου, ἐκλυδωνιζόμην, ἀβέβαιος περὶ τοῦ τέρματος τοῦ βίου μου, ἀλλότριος τῆς τε ἀληθείας καὶ τοῦ φωτός, τότε ἡγούμην πάνυ δύσκολον τὴν ὑπὸ τῆς θείας χάριτος ἐπαγγελλομένην σωτηρίαν˙ δηλ. ὅτι δύναταί τις ἀναγεννηθῆναι, ἐμψυχωθῆναι διὰ τοῦ σωτηρίου λουτροῦ εἰς νέαν ζωήν, ἀποδύσασθαι τὸν παλαιὸν ἄνθρωπον, καὶ τοιαύτην ἔχων σάρκα ἀλλοιωθῆναι τό τε πνεῦμα καὶ τὴν καρδίαν. Πῶς, ἔλεγον, ἐστι δυνατὴ τοιαύτη μεταβολή; Πῶς δύναταί τις ἀπαλλαγῆναι πάντων, ἃ ἐκ γενετῆς ἔχομεν, ἢ παρελάβομεν, καὶ ἅ, προϊούσης τῆς ἡλικίας, συνηυξήθησαν ἡμῖν; Οἱ διαλογισμοὶ

---

nihil innovetur, nisi quod traditum est—ut manus illi imponatur in poenitentiam, (καὶ ἔτι προστέθειται) cum ipsi haeretici proprie alterutrum ad se venientes non baptizent, sed communicent tantum . . . . . Effectum baptizmi majestati numinis tribuunt, ut qui in nomine Jesu Christi ubicunque et quomodocunque baptizentur, innovati et sanctificati judicentur». Ep. xxiv Cypriani.

([1]) Τὸ πρῶτον μετεφράσθησαν καὶ ἐτάχθησαν ἐν τῷ ἑλληνικῷ κανόνι ἡ πρὸς τὸν Ἰανουάριον ἐπιστολὴ καὶ τὸ πρωτόκολον (τῷ 256), τὸ κοινοποιηθὲν ὑπὸ ὀγδοήκοντα καὶ ἑπτὰ ἐπισκόπων τῷ Στεφάνῳ (σημ. 9 καὶ 21) ὑπὸ τοῦ ἀγνώστου συλλογέως τῶν κανόνων τῷ 686. Ἡ ἐν Τρούλῳ σύνοδος (τῷ 692) ἔταξεν αὐτὰ ὡσαύτως ἐν τῷ ἀριθμῷ τῶν κανόνων. Ἡ Συριακὴ μετάφρασίς ἐστιν ἀκριβεστέρα τῆς ἑλληνικῆς (Ἴδ. Gesch. d. Kirchenrechts — Bickel Giessen 1843. S. 43. 199. 243—49). Ὁ Πατριάρχης Φώτιος ὀρθῶς ποιῶν οὐκ ἔταξε τὰ ἄρθρα ταῦτα οὔτε ἐν τῇ συλλογῇ τῶν κανόνων, οὔτε ἐν τῷ Νομοκάνονι.

οὗτοι πολλάκις κατελάμβανόν με . . . ἀλλ᾽ ὅτε τὸ ὕδωρ τῆς παλιγγενεσίας ἀπέπλυνε τὸν ῥύπον τοῦ προτέρου μου βίου, ἱλαρὸν καὶ καθαρὸν φῶς κατῆλθεν οὐρανόθεν ἐπὶ τὴν καρδίαν μου· ὅτε διὰ τῆς ἀναγεννήσεως μετεπλάσθην εἰς νέον ἄνθρωπον, ἐκρατύνθη θαυμασίως τὸ ἀσταθὲς καὶ παραφερόμενον πνεῦμά μου· ἀπεκαλύφθησαν τὰ μυστήρια· διελύθη τὸ σκότος. . . ἔγνων, ὅτι τὸ κατὰ σάρκα ζῆσαι ἐν ἐμοὶ διὰ τὴν ἁμαρτίαν, ἀνῆκεν εἰς τὴν γῆν, ἤρξατο δὲ ἤδη τὸ Θεῖον, τὸ διὰ τοῦ ἁγίου Πνεύματος ζῶν» (§. 1—5). Ἔπειτα περιγράφεται ὁ κοσμικὸς βίος μετὰ τῶν θολερῶν αὐτοῦ ἡδονῶν, καὶ ἐξάγεται τὸ συμπέρασμα: ἡ ἀνάπαυσις ἐν τῷ Θεῷ (§ 6—16) [*]. Ἐνταῦθα ἀναφέρεται ὡσαύτως ἡ ἐπιστολὴ αὐτοῦ περὶ τοῦ βαπτίσματος τῶν νηπίων (1).

Εἰ καὶ ἠσχολήθη ὁ ἅγιος Κυπριανὸς κατ᾽ ἐξοχὴν περὶ τὰς χρείας τοῦ πρακτικοῦ βίου, ὅμως ἀπαντῶσιν ἐν τοῖς συγγράμμασιν αὐτοῦ πολύτιμοι ἰδέαι περί τινων ἀντικειμένων τῆς πίστεως, π. χ. περὶ τοῦ μυστηρίου τοῦ Μύρου (2), περὶ τῆς ἁγίας Εὐ-

---

[*] Ἡ *πρὸς τὸν Δόνατον* ἐπιστολή, ἣν δυνατὸν καλέσαι ἀληθῆ πραγματείαν περὶ τοῦ χριστιανικοῦ βίου παραβαλλομένου πρὸς τὸν ἐθνικόν, ἐστὶν ἀναντιρρήτως ἓν τῶν λαμπροτάτων πονημάτων τῆς ἐκκλησιαστικῆς φιλολογίας. Σ. Μ.

(1) Ep. ad Fidum LXIV. πρβλ. Epist ad LXX Januarium. LXXIII ad Jubajan.

(2) «Ungi quoque necesse est eum, qui baptizatus sit, ut accepto chrismate, i. e. unctione esse unctus Dei et habere in se gratiam Christi possit. Porro autem Eucharistia et, unde baptizati unguuntur, Oleum in altari sanctificatur» (ad Januar. etc. ep. LXX. c. 2. med.). «Quia legitimum et ecclesiasticum baptismum consecuti fuerant (Samaritani), baptizari eos ultra non oportebat, sed tantummodo *quod deerat* id a Petro et Ioanne factum est, ut oratione pro eis habita et manu imposita invocaretur et infunderetur super eos Spiritus Sanctus. Quod nunc quoque apud nos geritur, ut, qui in Ecclesia baptizantur, praepositis Ecclesiæ offerantur, et per nostram orationem ac manus impositionem Spiritum Sanctum consequantur, et signaculo dominico consummentur» (ad Jubaian. Ep LXXIII). Cyprian. et ceteri ad Stephanum Papam Ep. LXXII. c. I. p. 203. c. II. p. 203.

χαριστίας(1). περὶ τῆς Ἐξομολογήσεως(2), περὶ τῆς Ἱερωσύνης[*],

---

(1) De lapsis p. 381. «Quaedam (sacrificata idolis) nobis sacrificantibus latenter obrepsit, non cibum, sed gladium sibi sumens et velut quaedam venera lethalia intra fauces et pectus admittens, angi et anima exæstuante concludi post modum coepit. . . . .palpitans et tremens concidit. Quidam alius, quia et ipse maculatus, sacrificio a sacerdote celebrato partem cum cæteris ausus est latenter accipere, Sanctum Domini edere et contrectare non potuit, cinerem ferre se apertis manibus invenit . . .» De Orat. Dominic., c. 18. p. 421. «Procedente oratione postulamus et dicimus: *Panem nostrum quotidianum da nobis hodie.* Quod potest et spiritaliter et simpliciter intelligi, quia et uterque intellectus utilitate divina proficit ad salutem. Nam *panis Vitae Christus est*, et panis hic omnium non est, sed noster est. Et quomodo dicimus» *Pater noster*, quia intelligentium et credentium Pater est, sic et panem nostrum vocamus, quia *Christus eorum, qui corpus ejus contingunt, panis est*. Hunc antem pemem dari nobis *quotidie* postulamus, ne, qui in Christo sumus, et Eucharistiam quotidie ad cibum salutis accipimus, intercedente aliquo graviore delicto, dum abstenti et non communicantes a coelesti pane prohibemur, a Christi corpore separemur, ipso prædicante et monente: » » *Ego sum panis* vitæ, qui de cœlo descendi etc. « « . . . Quando ergo dicit in æternum vivere, si quis ederit de ejus pane, ut manifestum est eos vivere, qui corpus ejus attingunt et Eucharistiam jure communicationis accipiunt, ita contra timendum est et orandum, nequis dum abstentus separatus a Christi corpore, procul remaneat a salute, communicante ipso et dicente: » » *Nisi ederitis carnem Filii hominis et biberitis ejus Sanguinem, non habebitis vitam in nobis.* « « Et ideo panem nostrum i.e. Christum dari nobis quotidie petimus, ut, qui in Christo manemus et vivimus, a Sanctifiicatione ejus et corpore non recedamus.» ad Cornel· ep LXII. c. 2. med » ut quos excitamus et hortamur ad proelium, non inermes ac nudos relinquamus, sed protectione corporis et sanguinis Christi muniamus, et, cum ad hoc fiat Eucharistia, ut possit accipientibus esse tutela, quos tutos esse contra adversarium volumus munimento dominicæ saturitatis armemus

περὶ τοῦ συνδέσμου τῆς ἐπιγείου Ἐκκλησίας μετὰ τῆς ἐπουρανίου (3), περὶ τῆς διαφθορᾶς τῆς φύσεως ἡμῶν(4), περὶ τοῦ Σωτῆρος Χριστοῦ (5).

Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Κυπριανοῦ φέρονται διάφορα συγγράμματα, ὧν ἡ γνησιότης ἀμφιβάλλεται, ὡς π. χ. τὸ *de Spectaculis* (περὶ θεαμάτων) βιβλίον (6)· φέρονται δὲ καὶ τοιαῦτα, ἅτινα ἀναμφιβόλως οὐκ ἐγράφησαν ὑπ' αὐτοῦ, ὡς π. χ. τὸ de Singularitate clericorum (περὶ μοναστικοῦ τῶν κληρικῶν) (7).

§. 61. *Γρηγόριος ὁ θαυματουργός· βίος αὐτοῦ.*

Γρηγόριος ὁ Ναιοκαισαρείας ἐπίσκοπος καὶ θαυματουργός, πρότερον Θεόδωρος καλούμενος, κατήγετο ἐξ ἐπιφανοῦς οἴκου τῆς Νεοκαισαρείας. Ὁ πατὴρ αὐτοῦ, ἐθνικὸς ὤν, ἀνέθρεψεν αὐτὸν ἐν τῷ ἐθνισμῷ. Ὁ Θεόδωρος ἔλαβεν ἀξιόλογον ἐκπαίδευσιν, ἵνα μετέλ-

---

Nam quomodo docemus ant provocamus eos, in confessione nominis sanguinem suum fundere, si eis militaturis Christi sanguinem denegamus? Aut quomodo ad martyrii poculum idoneos facimus, si non eos prius ad bibendum in Ecclesia poculum Domini jure communicationis admittimus? « Epist. LXIII. p. 226. LXII p. 230.

(2) Ep. LXXIV ad Januarium, XVII ad plebem Carthag. XV ad confessores, XVI ad clerum, LXXVI ad Magnum. de Orat. Dominic. c. 18. 22. de lapsis c. 28. 32. 35.

[*] Ep. XLV ad Cornel. ep. LXIX ad Papianum. ep. LXXVI ad Magnum, in act. Consil. Carthag.

(3) Ep. XXXIV. XXXVII. ep. ad Cornel. de hab. virgin.

(4) Ep. LXIV ad Fidum.

(5) Ἴδ. ἀνωτέρω de idolorum vanitate.

(6) Τοιαῦτά εἰσι καὶ τὰ συγγράμματα: *de Disciplina et bono pudl citiae de Laude martyrii*, Exhortatio *at pœnitentiam*.

(7) Τὸ σύγγραμμα τοῦτο οὔτε κατὰ τὴν λέξιν, οὔτε κατὰ τὴν ὑπόθεσιν ἀνήκει εἰς τὸν Κυπριανόν. Ὁ Φέλλης ὀρθῶς ἀνάγει αὐτὸ εἰς τὸν χρόνον τοῦ Βέδα. Ὡσαύτως τὸ βιβλίον: de Operibus Christi cardinalibus (περὶ τῶν κυρίων ἔργων τοῦ Χριστοῦ), σύγγραμμα τοῦ Ἀρνόλδου, συγχρόνου τῷ Βερνάρδῃ. Τῷ Κυπριανῷ ἀπεδίδοσαν πολλὰ συγγράμματα, ἅ εἰσι πλήρη καθαρῶν μύθων, ὡς π. χ. τὸ *de Cœna* (περὶ δείπνου).

θῃ τὸν συνήγορον· ἐδιδάχθη τοὺς νόμους καὶ τὴν τότε γλῶσσαν τῶν νόμων, τὴν λατινικήν, καὶ τέλος ἔγνω ἀπελθεῖν εἰς Ῥώμην, διδαχθησόμενος ἐκεῖ τελειότερον τὸ ῥωμαϊκὸν δίκαιον. Ἀλλ' ἡ Θεία Πρόνοια ἄλλως ᾠκονόμησε τὰ κατ' αὐτόν. Παρὰ πᾶσαν προσδοκίαν ὁ Θεόδωρος ἔμελλε μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀθηνοδώρου συνοδεῦσαι τῇ ἀδελφῇ αὐτοῦ εἰς Καισάρειαν τῆς Παλαιστίνης, ἔνθα διέμενεν ὁ σύζυγος αὐτῆς, προσκληθεὶς ὑπὸ τοῦ τότε ἄρχοντος τῶν Παλαιστίνων, ἵνα συνεπιβοηθήσῃ αὐτῷ καὶ κοινωνήσῃ τῶν πόνων. Ἐκ τῆς Καισαρείας ἠδύναντο μεταβῆναι εἰς Βηρυτόν, περίφημον οὖσαν διὰ τὴν νομικὴν αὐτῆς σχολήν. Ἀλλὰ γενόμενοι συνήθεις τῷ Ὠριγένει (περὶ τὸ 231), αὐτός τε καὶ ὁ ἀδελφὸς αὐτοῦ (1), ἐπελάθοντο τῆς τε Βηρυτοῦ καὶ τῆς Ῥώμης (2). Ὁ Ὠριγένης, κατὰ τοὺς λόγους αὐτοῦ τοῦ Γρηγορίου, ἐπέβαλεν αὐτῷ τὴν ἔρευναν τῶν ἐν τοῖς συστήμασι τῶν φιλοσόφων διεσκεδασμένων σπερμάτων τῆς ἀληθείας, διεγείρας οὕτω τὴν πρὸς τὴν ἀλήθειαν ἀγάπην αὐτοῦ· ἔπειτα δ' ἤρξατο ἐκτιθέναι τὰς ἀρχὰς τῆς χριστιανικῆς πίστεως καὶ ἑρμηνεύειν τὴν ἁγίαν Γραφήν. Μετὰ πενταετῆ διαμονὴν παρὰ τῷ Ὠριγένει, δεξάμενος τὸ βάπτισμα ὁ Γρηγόριος, πανηγυρικὸν εὐχαριστίας τῷ διδασκάλῳ ἔγραψε λόγον, καὶ συγκαλεσάμενος ἅπαντας τοὺς ἐπιχωρίους, παρόντος καὶ αὐτοῦ τοῦ Ὠριγένους, ἀνέγνω τοῦτον τὸν λόγον (3), καὶ ἐπανῆλθεν εἰς τὴν

(1) Ὁ Ἀθηνόδωρος ἐγένετο ἔπειτα Ἐπίσκοπος Πόντου (Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 30. ζ'. 14, 28).

(2) Γρηγορ. Νύσσης εἰς τὸν βίον τοῦ ἁγίου Γρηγορ. τοῦ Θαυματ. λόγος Νικηφ. ς'. 7.

(3) «Λέγει τε ταῦτα, λέγει περὶ τοῦ διδασκάλου αὐτοῦ ὁ Γρηγόριος, οὐκ ἄλλως, οἶμαι, ἢ κοινωνίᾳ τοῦ θείου Πνεύματος· τῆς γὰρ αὐτῆς δυνάμεως δεῖ προφητεύουσί τε καὶ ἀκροωμένοις προφητῶν· καὶ οὐκ ἂν ἀκοῦσαι προφήτου, ᾧ μὴ αὐτὸ τὸ Πνεῦμα τὸ προφητεῦσαν τὴν σύνεσιν τῶν αὐτοῦ λόγων ἐδωρήσατο. Τοιοῦτον ἔγκειται λόγιον καὶ ἐν τοῖς ἱεροῖς Γράμμασι, τὸν κλείοντα ἀνοίγειν μόνον λέγον, ἄλλον δὲ μηδ' ὁντινοῦν· ἀνοίγει δὲ τὰ κεκλεισμένα, σαφηνίζων τὰ αἰνίγματα ὁ θεῖος λόγος. Δῶρον τὸ μέγιστον οὗτος τοῦτο θεόθεν ἔχει λαβών, καὶ μοῖραν παγκάλην οὐρανόθεν, ἑρμηνεὺς εἶναι τῶν τοῦ Θεοῦ λόγων πρὸς ἀνθρώπους, συνιέναι τὰ Θεοῦ ὡς Θεοῦ λαλοῦντος, καὶ διηγεῖσθαι ἀνθρώποις, ὡς ἀκούσωσιν ἄνθρωποι». πρβλ. Ἱερων. de vir illustr. C. LXV. Εὐσεβ. ἐκκλ. ἱστορ. ς'. 30.

ἑαυτοῦ πατρίδα οὐ σμικρὸν λυπούμενος ἐπὶ τῷ ἀπ᾽ αὐτοῦ χωρισμῷ. Διαμείνας ἐνταῦθα οὐ πολὺν χρόνον, ἀπεχώρησεν εἰς τὴν ἔρημον[*]. Ὅτε δὲ Φαίδιμος, ὁ Ἐπίσκοπος τῆς Ἀμασείας, μητροπόλεως τοῦ Πόντου, ἐξελέξατο τὸν Γρηγόριον ὡς ἐπίσκοπον Νεοκαισαρείας, οὗτος ἐκρύβη. Ὁ Ἐπίσκοπος προσηύξατο τῷ Κυρίῳ ἐπιβλέψαι ἐπ᾽ αὐτόν τε καὶ ἐπὶ τὸν Γρηγόριον, τριῶν ἡμερῶν ὁδὸν τότε ἀπέχοντα. Ὁ ἱερὸς οὗτος ἀνὴρ ἐπαγαγὼν τῷ Γρηγορίῳ ἀντὶ χειροτονίας τὸν λόγον, ἀφιέρωσε τῷ Θεῷ τὸν σωματικῶς οὐ παρόντα, καὶ ἀπεκλήρωσεν αὐτῷ τὴν πόλιν ἐκείνην. Τούτου γενομένου, ὁ Γρηγόριος, οἱονεὶ ὑπὸ δυνάμεως ἑλκόμενος, κατέλιπε τὴν ἔρημον καὶ ἀνέλαβε τὴν διοίκησιν τοῦ ποιμνίου, τελεσθείσης ἐν τούτοις τῆς συνήθους χειροτονίας (¹). Δέκα ἑπτὰ χριστιανοὶ μόνον ἦσαν ἐν τῇ Ἐκκλησίᾳ τῆς Νεοκαισαρείας, ὅτε ἀνέλαβε τὴν διοίκησιν αὐτῆς ὁ Γρηγόριος, καὶ οὐ πλείονες ὑπῆρχον ἐθνικοί, ὅτε ἐξεδήμησεν εἰς τὴν οὐράνιον Ἐκκλησίαν [**]. Τὸ πλῆθος τῶν ὑπ᾽ αὐτοῦ τελεσθέντων θαυμάτων περι-

---

[*] Τότε ἐπέστειλεν αὐτῷ ὁ Ὠριγένης συμβουλεύων ἐκ μὲν τῶν ἐξωτερικῶν ἐπιστημῶν χρῆσθαι μόνον ταῖς ἀναγκαίαις πρὸς κατανόησιν τῶν ἁγίων Γραφῶν, ἅπασαν δὲ τὴν εὐφυΐαν αὐτοῦ ἀφιερῶσαι πρὸς ὑπεράσπισιν τῆς πίστεως καὶ διακονίαν τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. «Δύναται οὖν, λέγει, ἡ εὐφυΐα σου ῥωμαῖόν σε νομικὸν ποιεῖν τέλειον, καὶ ἑλληνικόν τινα φιλόσοφον τῶν νομιζομένων ἐλλογίμων αἱρέσεων· ἀλλ᾽ ἐγὼ τῇ πάσῃ τῆς εὐφυΐας δυνάμει σου ἐβουλόμην καταχρήσασθαι σε τελικῶς μὲν εἰς χριστιανισμόν, ποιητικῶς δὲ διὰ τοῦτ᾽ ἂν ηὐξάμην παραλαβεῖν σε καὶ φιλοσοφίας ἑλλήνων τὰ οἱονεὶ εἰς χριστιανισμὸν δυνάμενα γενέσθαι ἐγκύκλια μαθήματα ἢ προπαιδεύματα, καὶ τὰ ἀπὸ Γεωμετρίας καὶ Ἀστρονομίας χρήσιμα ἐσόμενα εἰς τὴν τῶν ἱερῶν Γραφῶν διήγησιν». Ὠριγ. πρὸς Γρηγόρ. τὸν Θαυματουργὸν κεφ. α΄. Σ. Μ.

(¹) Γρηγόρ. Νύσσης αὐτόθ. σελ. 976. Νικηφ. ἐκκλ. ἱστορ. ς΄. 7.

[**] Ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης (αὐτόθ. σελ. 1006—7). λέγει: ἐπειδὴ προέγνω αὐτοῦ τὴν μετάστασιν, σπουδῇ πᾶσάν τε τὴν περιοικίδα διηρευνήσατο, μαθεῖν θέλων, εἴ τινες εἶεν οἱ περιλειφθέντες ἔξω τῆς πίστεως· ἐπεὶ οὖν ἔγνω τοὺς παραμεμενηκότας τῇ ἀρχαίᾳ πλάνῃ μὴ πλείους εἶναι τῶν ἑπτακαίδεκα, σκυθρωπὸν μὲν καὶ τοῦτό, φησι, πρὸς τὸν Θεὸν ἀποβλέψας, τὸ λιπεῖν τι τῷ τῶν σωζομένων πληρώματι· πλὴν ἀλλὰ μεγάλης εὐχαριστίας ἄξιον, ὅτι τοσούτους καταλείπει τοὺς εἰδω-

εποιήσατο αὐτῷ τὴν προσηγορίαν τοῦ Θαυματουργοῦ καὶ δευτέρου Μωϋσέως (1). Κατὰ τὸν ἐπὶ τοῦ Αὐτοκράτορος Δεκίου διωγμὸν (τῷ 250) κατέλιπε μετὰ πολλῶν ἐκ τοῦ ποιμνίου αὐτοῦ τὴν πόλιν, καὶ οὕτως ἔσωσε τὴν τοσοῦτον ἀναγκαίαν τῇ τε ἰδίᾳ ποίμνῃ καὶ ταῖς ἄλλαις Ἐκκλησίαις ζωὴν αὐτοῦ (2). Μετὰ Ἀθηνοδώρου τοῦ ἀδελφοῦ αὐτοῦ, Ἐπισκόπου Πόντου, παρεγένετο εἰς τὴν κατὰ τὴν Ἀντιόχειαν κατὰ Παύλου τοῦ Σαμοσατέως συγκροτηθεῖσαν σύνοδον, καὶ περὶ τὸ 270 ἐτελεύτησεν ἐν εἰρήνῃ (3).

λολάτρας τῷ μετ' αὐτὸν ἐκδεχομένῳ τὴν Ἐκκλησίαν, ὅσους αὐτὸς χριστιανοὺς ὑπεδέξατο». Σ. Μ.

(1) Βασίλ. ὁ Μ. περὶ τοῦ ἁγίου Πνεύματος, κεφ. 29. «Γρηγόριον δὲ τὸν μέγαν καὶ τὰς ἐκείνου φωνὰς ποῦ θήσομεν; Ἆρ' οὐχὶ μετὰ τῶν Ἀποστόλων καὶ Προφητῶν, ἄνδρα τῷ αὐτῷ πνεύματι ἐκείνοις περιπατήσαντα, καὶ τοῖς τῶν ἁγίων ἴχνεσι διὰ παντὸς τοῦ βίου στοιχήσαντα, καὶ τῆς εὐαγγελικῆς πολιτείας τὸ ἀκριβὲς διὰ πάσης αὐτοῦ τῆς ζωῆς κατορθώσαντα; Ἐγὼ μὲν τοῦτό φημι· ἢ ἀδικήσομεν τὴν ἀλήθειαν, μὴ τοῖς ᾠκειωμένοις Θεῷ τὴν ψυχὴν ἐκεῖνον συναριθμοῦντες, οἷόν τινα λαμπτῆρα περιφανῆ μέγαν, ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ διαλάμψαντα· ὃς φοβερὸν μὲν εἶχεν ἐκ τῆς τοῦ Πνεύματος συνεργίας κατὰ δαιμόνων τὸ κράτος. Τοσαύτην δὲ ἔλαβε τοῦ Λόγου τὴν χάριν εἰς ὑπακοὴν πίστεως ἐν τοῖς ἔθνεσιν, ὥστε ἑπτακαίδεκα μόνους χριστιανοὺς παραλαβών, ὅλον τὸν λαὸν τόν τε ἀστυκὸν καὶ τὸν χωριτικὸν διὰ τῆς ἐπιγνώσεως προσήγαγε τῷ Θεῷ. Ἐκεῖνος καὶ ποταμῶν ῥεῖθρα μετέστησεν, ἐπιτάξας αὐτοῖς ἐν τῷ ὀνόματι τῷ μεγάλῳ τοῦ Χριστοῦ· καὶ λίμνην ἐξήρανεν, ὑπόθεσιν πολέμου φέρουσαν ἀδελφοῖς πλεονέκταις. Αἱ δὲ τῶν μελλόντων προαγορεύσεις τοιαῦται, ὡς μηδὲν τῶν ἄλλων ἀποδεῖν προφητῶν. Καὶ ὅλως μακρὸν ἂν εἴη τοῦ ἀνδρὸς διηγεῖσθαι τὰ θαύματα, ὃς τῇ ὑπερβολῇ τῶν ἐν αὐτῷ χαρισμάτων τῶν ἐνεργουμένων ὑπὸ τοῦ Πνεύματος ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι, *δεύτερος Μωϋσῆς* παρ' αὐτῶν τῶν ἐχθρῶν τῆς ἀληθείας προσηγόρευτο. Οὕτως αὐτῷ ἐν παντὶ λόγῳ καὶ ἔργῳ τῶν ἐπιτελουμένων διὰ τῆς χάριτος οἷόν τι φῶς ἐπέλαμψε, μήνυμα τῆς ἐπουρανίου δυνάμεως, τῆς ἐκ τοῦ ἀφανοῦς παρεπομένης αὐτῷ . . . . » Γρηγόρ. ὁ Νύσσης αὐτόθ.

(2) Γρηγόρ. ὁ Νύσσης αὐτόθ.

(3) Εὐσέβ. ἐκκλ. ἱστορ. ζ'. 28. Ἡ μνήμη αὐτοῦ τῇ ιζ'. Νοεμβρίου.

§. 62. *Συγγράμματα.*

Τὰ νῦν γνωστὰ τοῦ Θαυματουργοῦ συγγράμματά εἰσι(¹):

1ον) Σύμβολον ἢ ἔκθεσις τῆς πίστεως θαυμαστὸν διὰ τὴν ἀρχὴν αὐτοῦ. Τῷ σμʹ. ὅτε, πρὶν ἢ ἀναδέξηται τὸ τῆς ἐπισκοπῆς ἀξίωμα, ὁ Γρηγόριος ἠσχολεῖτο ἐν τῇ ἐρήμῳ περὶ τὴν ἐκμάθησιν τῶν τῆς πίστεως δογμάτων, ἐνεφανίσθη αὐτῷ σεβάσμιός τις γέρων, συνοδευόμενος ὑπὸ γυναικός, οὐράνιον φῶς ἐξαστραπτούσης, καὶ ἐπιταγῇ ταύτης, (ἦν δ᾽ αὕτη ἡ Ὑπεραγία Θεοτόκος, ὁ δὲ γέρων—ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς Ἰωάννης) ἐνεχείρισεν αὐτῷ τὴν ἔκθεσιν τῆς χριστιανικῆς πίστεως. Ὁ Γρηγόριος παρέδωκεν ἔπειτα τὸ σύμβολον τοῦτο τῇ Ἐκκλησίᾳ τῆς Νεοκαισαρείας. Ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης ἀφηγούμενος τὴν ἀρχὴν ταύτην τοῦ συμβόλου προστίθησιν «ὅτῳ δὲ φίλον περὶ τούτου πεισθῆναι, ἀκουέτω τῆς Ἐκκλησίας, ἐν ᾗ ταῦτα ἐκήρυττε, παρ᾽ οἷς αὐτὰ τὰ χαράγματα τῆς μακαρίας ἐκείνης χειρὸς εἰσέτι καὶ νῦν διασώζεται» (²). Ἡ μακαρία Μακρίνα, ἡ προμήτωρ Βασιλείου τοῦ Μεγάλου καὶ Γρηγορίου τοῦ Νύσσης, ἀκροασαμένη αὐτοῦ τοῦ Θαυματουργοῦ, ἤνεγκε τὸ Σύμβολον αὐτοῦ εἰς Καππαδοκίαν, καὶ κατὰ τοῦτο ἐδίδαξε τοὺς ἑαυτῆς ἐγγόνους (³). Γρηγόριος ὁ Θεολόγος

(¹) Τὰ συγγράμματα τοῦ ἁγίου Γρηγορίου ἐξεδόθησαν ὑπὸ Οὐοσσίου, Paris. 1622. ὑπὸ τοῦ Γαλλανδίου, Bibl. Patr. Tom. III, p. 385-469, καὶ ὑπὸ τοῦ Μιγνίου Patrol. τ. x.

(²) Γρηγόρ. ὁ Νύσ. αὐτόθ. § 10.

(³) Βασίλειος ὁ μέγας ἔν τινι τῶν ἐπιστολῶν αὐτοῦ ἀπολογούμενος ὑπὲρ ἑαυτοῦ ἐνώπιον τῶν Νεοκαισαρέων, λέγει: «Πίστεως δὲ τῆς ἡμετέρας τίς ἂν καὶ γένοιτο ἐναργεστέρα ἀπόδειξις, ἢ ὅτι τραφέντες ἡμεῖς ὑπὸ τίτθῃ μακαρίᾳ γυναικί, παρ᾽ ἡμῶν ὡρμημένῃ; Μακρίναν λέγω τὴν περιβόητον, παρ᾽ ἧς ἐδιδάχθημεν τὰ τοῦ μακαριωτάτου Γρηγορίου ῥήματα, ὅσα πρὸς αὐτὴν ἀκολουθίᾳ μνήμης διασωθέντα αὐτή τε ἐφύλασσε, καὶ ἡμᾶς ἔτι νηπίους ὄντας ἔπλαττε καὶ ἐμόρφου τοῖς τῆς εὐσεβείας δόγμασιν» (ἐπιστ. σδʹ. § 6. Τ. 3. σελ. 306). Ἐν τοίνυν τῶν Γρηγορίου, καὶ ὁ νῦν ἀντιλεγόμενος τρόπος τῆς δοξασίας ἐστίν, ἐκ τῆς ἐκείνου παραδόσεως τῇ Ἐκκλησίᾳ πεφυλαγμένος» (περὶ τοῦ ἁγ. Πνεύμ. κεφ. 29).

εἶχεν ὡσαύτως ὁδηγὸν τὸ Σύμβολον τοῦτο ([1]). Ὁ δὲ Ρουφῖνος κατεχώρισεν αὐτὸ ἐν τῇ ὑπ᾽ αὐτοῦ γενομένῃ μεταφράσει τῆς τοῦ Εὐσεβίου ἱστορίας ([2]), ἡ δὲ πέμπτη Οἰκουμενικὴ σύνοδος ἐπεδοκίμασεν αὐτό ([3]). Τὸ σύμβολον τοῦ Γρηγορίου ἐστὶν ἓν τῶν πολυτιμοτάτων τῆς ἀρχαιότητος λειψάνων. Καίπερ δὲ σύντομον ὄν, περιέχει ὅμως ἀκριβῆ διδασκαλίαν περὶ τῶν τριῶν προσώπων τῆς Θεότητος, περὶ τοῦ ὁμοουσίου Αὐτῶν, περὶ τῶν προσωπικῶν Αὐτῶν ἰδιοτήτων, περὶ τῶν ἐνεργειῶν Αὐτῶν ὡς πρὸς τὸν ἄνθρωπον. Ἑνὶ λόγῳ ἐστὶ καθ᾽ ὁλοκληρίαν ἄξιον ἐμβριθοῦς μελέτης. «Εἷς Θεός, Πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης, καὶ δυνάμεως, καὶ χαρακτῆρος ἀϊδίου. Τέλειος τελείου γεννήτωρ, Πατὴρ Υἱοῦ μονογενοῦς. Εἷς Κύριος, μόνος ἐκ μόνου, Θεὸς ἐκ Θεοῦ· χαρακτὴρ καὶ εἰκὼν τῆς Θεότητος, λόγος ἐνεργός· Σοφία τῆς τῶν ὅλων συστάσεως περιεκτική· καὶ δύναμις τῆς ὅλης κτίσεως ποιητική. Υἱὸς ἀληθινός, ἀληθινοῦ Πατρός, ἀόρατος ἀοράτου· καὶ ἄφθαρτος ἀφθάρτου· καὶ ἀθάνατος ἀθανάτου, καὶ ἀΐδιος ἀϊδίου. Καὶ ἓν Πνεῦμα ἅγιον, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον· καὶ διὰ Υἱοῦ πεφηνός, δηλαδὴ τοῖς ἀνθρώποις [α]·

([1]) Ἐν ἑνὶ λόγῳ (λζ΄.) ἐπαναλαμβάνει τὰς λέξεις τούτου τοῦ Συμβόλου: «Ἔχω μὲν οὕτω περὶ τούτων καὶ ἔχοιμι· καὶ ὅστις ἐμοὶ φίλος, σέβειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, τρεῖς ἰδιότητας, θεότητα μίαν, δόξῃ καὶ τιμῇ καὶ οὐσίᾳ καὶ βασιλείᾳ μὴ μεριζομένην· ὥς τις τῶν μικρῷ πρόσθεν θεοφόρων ἐφιλοσόφησε». λόγ. μ. 42. «οὐδὲν τῆς τριάδος δοῦλον, οὐδὲ κτιστόν, οὐδὲ ἐπείσακτον, ἤκουσα τῶν σοφῶν τινος λέγοντος».

([2]) Rufin. Histor. Eccles. lib. VII. C 25. Τὸ αὐτὸ σύμβολον κατεχωρίσθη ἐν τῷ λατιν. ψαλτηρίῳ Καρόλου τοῦ μεγάλου (Lanb. comm. 3. p. 266).

([3]) Concil. T. 2 q. 777. ed. Binii. Tom. XI ed. Mansi.

[α] «*Καὶ ἐν Πνεῦμα ἅγιον, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον· καὶ δι᾽ Υἱοῦ πεφηνός· δηλαδὴ τοῖς ἀνθρώποις*». Τὸ χωρίον τοῦτο ἑρμηνεύει ὁ σοφώτατος Ἀδὰμ ὁ Ζοιρνικάβιος ὧδε: Τῷ μὲν οὖν θαυματουργῷ τὴν τῶν ὑποστάσεων ἀρχὴν δεῖξαι ὧδε ἡ πρόθεσις, ἵν᾽ ἐντεῦθεν τὸ τῆς θεότητος ἑνιαῖον κατασκευάσῃ, Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος. Ἀλλὰ μὴν οὐκ ἄλλοθεν ἢ παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκδιδάσκει, ὥσπερ ἐξ αὐτοῦ μόνου γεννᾶται καὶ ὁ Υἱός. Τοῦ ἄρα Πνεύματος ὁ Προβολεὺς μόνος ἐστὶν ὁ Πατήρ, ὁ δὲ Υἱὸς οὔ. Τὸ δὲ

Εἰκὼν τοῦ Υἱοῦ· τελείου τελεία· ζωή, ζώντων αἰτία· πηγὴ ἁγία· ἁγιότης, ἁγιασμοῦ χορηγός. Ἐν ᾧ φανεροῦται Θεὸς ὁ Πατήρ, ὁ ἐπὶ πάντων καὶ ἐν πᾶσι· καὶ Θεὸς ὁ Υἱός, ὁ διὰ πάντων. Τριὰς τελεία, δόξῃ καὶ ἀϊδιότητι καὶ βασιλείᾳ μὴ μεριζομένη μηδὲ ἀπαλλοτριουμένη. Οὔτε οὖν κτιστόν τι, ἢ δοῦλον ἐν τῇ Τριάδι· οὔτε ἐπείσακτον, ὡς πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον δὲ ἐπεισελθόν. Οὔτε οὖν ἐνέλιπέ ποτε Υἱὸς Πατρί, οὔτε Υἱῷ τὸ Πνεῦμα· ἀλλ' ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ αὐτὴ Τριὰς ἀεί» (¹).

τοῖς ἀνθρώποις φανεροῦσθαι, καὶ τὸ ἔχον τὴν ὕπαρξιν, οὐχ ἓν καὶ ταὐτόν ἐστιν. Καὶ γὰρ καὶ τὸ Πνεῦμα τὸν Υἱὸν φανεροῖ, εἰ μηδεὶς πρὸς ἐπίγνωσιν ἥκων ἐστὶ τοῦ Υἱοῦ, ἢν μὴ φθάσας προσλαμφθείη ὑπὸ τοῦ Πνεύματος· καὶ εἰ τὰ τοῦ Υἱοῦ ἔργα, αὐτὸ τὸ Πνεῦμα τὸ ἐμφανίζον ἐστί. Ταύτῃ τοι καὶ ὁ Δαμασκηνὸς Ἰωάννης, ἐν Βιβλ. Ά. τῆς Ὀρθοδ. Πίστ. κεφ. Ζ'.» Τὸ Πνεῦμα (μεμαθηκότες ὁμολογοῦμέν, φησι) δύναμιν οὐσιώδη αὐτὴν ἑαυτῆς ἐν ἰδιαζούσῃ ὑποστάσει θεωρουμένην, καὶ τοῦ Πατρὸς προερχομένην, καὶ ἐν τῷ Λόγῳ ἀναπαυομένην, καὶ αὐτοῦ οὖσαν ἐκφαντικήν». (προτεθείκει δὲ καὶ πρὸ τούτου) «Τὸ Πνεῦμα συμπαρομαρτοῦν τῷ Λόγῳ, καὶ φανεροῦν αὐτοῦ τὴν ἐνέργειαν, οὐ πνοὴν ἀνυπόστατον ἐννοοῦμεν». Ἀλλ' οὐ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον αἰτία ἐστὶ τοῦ Υἱοῦ. Ἔπειτα καὶ τὸ φανεροῦν τοῖς ἀνθρώποις ἔργον ἐστὶ τῶν πρὸς τὰ ἐκτός, καὶ ἐν χρόνῳ τέως γενόμενον, τὸ δὲ προβάλλειν ἐν τοῖς Θείοις, τῶν ἐντὸς εἶναι συνωμολόγηται, πρὸ παντὸς αἰῶνος τελούμενον. Πάντῃ ἄρα καὶ πάντως διαφέρον ἐστὶ τὸ φανεροῦσθαι τοῖς ἀνθρώποις τοῦ ἔχειν τὴν ὕπαρξιν. Ὁ τοίνυν Θαυματουργὸς διὰ τῶν ἐπενεχθέντων ἐκείνων, ὅτι μὲν ἐκ τοῦ Πατρὸς τὴν ὕπαρξιν ἔχον ἐστὶ τὸ Πνεῦμα, φησίν· ὅτι δὲ καὶ ἐκ τοῦ Υἱοῦ, οὔ φησι· πλὴν ἢ μόνον, ὅτι τοῖς ἀνθρώποις διὰ τοῦ Υἱοῦ φανεροῦται. Παντάπασιν ἄρα τὸν Υἱὸν ἐν τούτοις ἀποκλείει τῆς προβολῆς τῆς τοῦ Πνεύματος. Εἰ γὰρ καὶ ἐκ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα προϊέναι ἐπίστευεν, οὐκ ἂν αὐτὸ δήπου διαφόρῳ λόγῳ, τὴν πρὸς τὸν Υἱὸν καὶ τὸν Πατέρα ἀναφορὰν ἔχειν ἐδίδαξε. Συνῆψε δ' ἂν ἅμα τῷ Πατρὶ τὸν Υἱὸν ἐπὶ τῆς προόδου τοῦ Πνεύματος» (περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ μόνου τοῦ Πατρός, Τομ. Ά. σελ. 12 — 13, μεταφρ. Εὐγέν. τοῦ Βουλγάρεως). Σ. Μ.

(¹) Ἀρίστη ἔκδοσις τοῦ ἑλληνικοῦ κειμένου μετὰ τῆς μεταφράσεως τοῦ Ρουφίνου καὶ ἑτέρου ἀγνώστου ἐστὶν ἡ τοῦ *Ar*: Biblioth. d. Symb. Breslau, 1842.

2ον) Ἐπιστολὴ κανονικὴ συγγραφεῖσα ὑπὸ τοῦ Θαυματουργοῦ, ὅτε οἱ Βοράδοι καὶ οἱ Γότθοι ἐπῆλθον τῷ Πόντῳ, περὶ οὗ γίγνεται ἰδίως λόγος ἐν τῷ Ε΄. Κανόνι. Τοῦτο συνέβη ἐπὶ τῶν Αὐτοκρατόρων Οὐαλεριανοῦ καὶ Γαλλιήνου, ὅτε οἱ μνημονευθέντες λαοὶ ἠρήμωσαν ἅπασαν τὴν μικρὰν Ἀσίαν καὶ τὴν Ἑλλάδα (1). Κατὰ τὴν ἐπιδρομὴν ταύτην πολλοὶ τῶν χριστιανῶν διεπράξαντο διάφορα ἐγκλήματα. Τούτου ἕνεκα «ὁ ἱερώτατος Πάπας» τοῦ Πόντου ἐπίσκοπος Θεόδωρος, ἀδελφὸς τοῦ ἁγίου Γρηγορίου (2), ᾐτήσατο τὴν συμβουλὴν αὐτοῦ, πῶς προσενεκτέον τοῖς ἁμαρτοῦσιν. Ὁ ἅγιος Γρηγόριος ἔπεμψε (τῷ 262) κανόνας καὶ σύναμα ἀπέστειλε τὸν ἐπίσκοπον Εὐφρόσυνον πρὸς αὐτόν, ἵνα κατὰ τὸν τύπον τὸν ὑπάρχοντα ἐν τῇ Ἐκκλησίᾳ τῆς Νεοκαισαρείας καὶ αὐτὸς δώῃ ὁμοίως καὶ ὧν δεῖ τὰς κατηγορίας προσίεσθαι, καὶ οὓς δεῖ ἐκκηρύξαι τῶν εὐχῶν.

Ἐν τοῖς ἀρχαίοις χειρογράφοις ἡ πρὸς τὸν Πάπαν Πόντου κανονικὴ ἐπιστολὴ περιέχει δέκα κανόνας, ὁ δὲ τελευταῖος προσετέθη τῇ αὐτῇ ἐπιστολῇ ἔν τισι χειρογράφοις (3). Ἀλλ᾽ ἐκ τούτου οὐδαμῶς

(1) Ζωσίμ. ἱστορ. βιβλ. ά. σελ. 28. edit. Oxon. 1679. August. epist. ad Hesych. Orosii Histor lib. VII c. 22. Σωζόμ. ἐκκλησιαστ. ἱστορ. ϐ΄. 12.

(2) Ἐν τῇ ἐπιστολῇ οὐκ ἀναφέρεται τὸ ὄνομα τοῦ πρὸς ὃν αὕτη ἐγράφη, ἀλλὰ δῆλον, ὅτι ἐγράφη πρὸς τὸν πρόεδρον τῆς Ἐκκλησίας τοῦ Πόντου. καλούμενον *ἱερώτατον πάπαν*. Ἐπειδὴ δὲ ἡ ὀνομασία αὕτη κατὰ τοὺς πρώτους αἰῶνας ἀπεδίδοτο τοῖς ἐπισκόποις, τοῖς διὰ τὰς προσωπικὰς αὐτῶν ἰδιότητας ἐπισπασαμένοις τὸ κοινὸν σέβας, ὡς π. χ. ἡ ρωμ. Ἐκκλησία ὀνομάζει τὸν ἅγιον Κυπριανὸν *benedictum papam* beatissimum atque gloriosissimum papam· ὁ δὲ Ἱερώνυμος ἐν τῇ πρὸς Αὐγουστῖνον ἐπιστολῇ: Domino vere sancto et beatissimo papæ Augustino, ἐπίσκοπος δὲ Πόντου ἦν τότε ὁ ἅγιος Ἀθηνόδωρος, ὁ ἀδελφὸς τοῦ θαυματουργοῦ, ἐκ τούτου ἄρα δῆλον, ὅτι ἡ κανονικὴ αὕτη ἐπιστολὴ ἐγράφη πρὸς τὸν ἐπίσκοπον τοῦτον.

(3) Ὁ Ζωναρᾶς ἡρμήνευσε δέκα μόνον κανόνας. Τοσοῦτοί εἰσιν ἐν ὀκτὼ ἀπογράφοις τῆς Βοδλεϊανῆς βιβλιοθήκης (Reliquiæ S. ed. Routh. Tom. II. pag· 459), καὶ ἐν τῷ Φλωρεντινῷ ἀπογράφῳ παρὰ Βανδίνῃ (Catal Bibl. Florent. pag. 468).

ἐξάγεται, ὅτι ὁ Κανὼν οὗτος οὐκ ἀνήκει εἰς τὸν Θαυματουργόν· πιθανώτερον δέ, ὅτι ἐλήφθη ὑπὸ τῶν κανονιστῶν ἐξ ἑτέρας τοῦ Γρηγορίου ἐπιστολῆς, διότι, κατὰ τὸν Ἱερώνυμον καὶ τὸν Σουΐδαν, ὁ ἅγιος ἔγραψεν οὐ μόνην μίαν ἐπιστολήν, καὶ ἐν τοῖς ὑπομνήμασι τῶν ἐκκλησιαστικῶν Κανόνων μνημονεύονται «κανονικαὶ Γρηγορίου» ([1]).

Ὡς ἡ ὀνομασία — κανονικὴ ἐπιστολὴ ἑρμηνεύεται διὰ τῆς λέξεως τύπος, ἧς γίγνεται χρῆσις ἐν αὐτῇ τῇ ἐπιστολῇ, οὕτως ἡ ὑπόθεσις αὐτῆς δείκνυσιν, ὅτι καὶ κατὰ τὸν σκοπὸν τοῦ Θαυματουργοῦ ἦν κανονική, δηλονότι κανὼν τῆς εὐταξίας ([2]), εἰ καὶ κατ' ἐξοχὴν μόνον διὰ τὴν Ἐκκλησίαν τοῦ Πόντου. Ἐν τοῖς Κανόσι τῆς Οἰκουμενικῆς Ἐκκλησίας ἐτάχθη τὸ πρῶτον ὑπὸ τῆς ἐν Τρούλλῳ συνόδου: «Ἐπισφραγίζομεν τοὺς λοιποὺς πάντας ἱεροὺς κανόνας τοὺς ὑπὸ τῶν ἁγίων καὶ μακαρίων Πατέρων ἡμῶν ἐκτεθέντας, τουτέστι . . . . Γρηγορίου ἐπισκόπου γενομένου Νεοκαισαρείας τοῦ θαυματουργοῦ» (καν. β'.) ([3]).

Ὁ Βαλσαμὼν ἡρμήνευσε τὸν κανόνα περὶ βαθμῶν τῆς μετανοίας. Ὁ Βλάσταρης ἀριθμεῖ 12 κανόνας, ὡς καὶ ἐν τῇ ἡμετέρᾳ βίβλῳ τῶν κανόνων τῇ ἐκδοθ. ἐν Πετρουπόλει τῷ 1839· ἀλλὰ μόνον διότι τὸν πρῶτον κανόνα διεῖλον εἰς δύο. Ὡς πρὸς τοὺς βαθμοὺς τῆς μετανοίας, τοὺς μνημονευομένους ἐν τῷ τελευταίῳ κανόνι, ὁ Ἀλέξανδρος Νατάλιος ὀρθῶς ἐσημείωσεν (Dissert. 18 saec III.), ὅτι οἱ αὐτοὶ βαθμοὶ μνημονεύονται ἐν τοῖς ζ'. η'. καὶ θ'. κανόσιν· ἀλλὰ τὰς λέξεις: *ἀκούων γάρ φησὶ οὐ δεῖ* μεταβαλεῖν: *ἀκούων δέ φημι*, ὡς μετέβαλεν ὁ Νατάλιος, οὔτε ὁρᾷν ἐν αὐταῖς ἀναφορὰν εἰς τοὺς λόγους Βασιλείου τοῦ Μεγάλου (πρὸς Ἀμφιλόχ. καν. πε'.), ὡς βούλονται ὁ Γαρδουῖνος, ὁ Γαλλάνδιος, καὶ ὁ Ρούθιος. Ἐν τῇ ῥωσσικῇ μεταφράσει ἐννοήθησαν ὀρθῶς: «*ὁ κανὼν λέγει*». Ὁ ἅγιος Γρηγόριος καὶ ἀνωτέρω (καν. ε'.) εἶπε περὶ τοῦ κανόνος (τύπου) τῆς Ἐκκλησίας τῆς Νεοκαισαρείας.

([1]) Hieron. de vir. illustr. c. LXV. «Et aliæ hujus vulgo feruntur epistolæ . . . .» Fabric. bibl. Gr. VII, 256. ed. Harl. παρὰ τῷ Βανδίνῃ ἐν τῇ ἑρμηνείᾳ τῶν κανόνων κατ' ἀπόγραφον τῶν Μεδίκων Catal. cod. Laurent. Med. p. 99.74.

([2]) Κορνηλ. ἐπιστ. πρὸς Φάβιον (τῷ 251) παρ' Εὐσεβίῳ ς'. 44. «κατὰ τὸν τῆς Ἐκκλησίας κανόνα». Ὁ Φιρμιλιανὸς πρὸς τὸν Κυπριανὸν (ep. LXV): ut nihil discrepare ab ecclesiastica regula videatur».

([3]) Ἰωάννης ὁ Σχολαστικός, κατὰ τὸν ς'. αἰῶνα ἀκμάσας, κατεχώρι-

3ον) Μετάφρασις εἰς τὸν Ἐκκλησιαστήν, κατὰ τὸν Ἱερώνυμον, «βραχεῖα μέν, ἀλλὰ λίαν ὠφέλιμος», ἀναφερομένη ὑπὸ τὸ ὄνομα τοῦ Θαυματουργοῦ ὑπὸ τοῦ αὐτοῦ Ἱερωνύμου καὶ ἐν τῇ ἑρμηνείᾳ εἰς τὸν Ἐκκλησιαστήν (1), κατεχωρίσθη ὑπὸ τῶν ἀντιγραφέων ἐν τοῖς συγγράμμασι Γρηγορίου τοῦ Θεολόγου, μόνον διότι ἔφερε τὸ ὄνομα τοῦ Γρηγορίου.

4ον) Εἰς Ὠριγένην προσφωνητικὸς καὶ πανηγυρικὸς λόγος—σύγγραμμα θαυμάσιον διὰ τὸ γλαφυρὸν τῆς φράσεως, καὶ σπουδαῖον ἐν τῇ ἱστορίᾳ τῆς ἐκκλησιαστικῆς ἐκπαιδεύσεως, ἐν μέρει δὲ καὶ ἐν τῇ Δογματικῇ. Τοῦτο πρὸς τοῖς ἄλλοις διαπραγματεύεται περὶ τῆς Θεότητος τοῦ Λόγου[*], περὶ τῆς κληρο-

σεν ἐκ τῶν ἐπιστολῶν τῶν Πατέρων μόνον τὴν ἐπιστολὴν τοῦ μεγάλου Βασιλείου. Ἀλλ' ἐν τῷ προλόγῳ τοῦ συλλογέως τῶν κανόνων τοῦ ζ'. αἰῶνος (παρὰ Βιλλίῳ bibl. c. 2,790) μνημονεύεται: «Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ ἐπιστολὴ κανονική». Ἡ ἐπιστολὴ ἐξεδόθη ὑπὸ Βεβερεγίου (Pandect. can., tom. II. pag. 24—35), τοῦ Γαλλανδίου (Bibl Pat. tom. III.), καὶ τοῦ Ρουθίου (Reliquiæ S. T. II. pag. 437—460) μετ' ἐξαιρέτων σημειώσεων. Ἡ ῥωσσικὴ μετάφρ. μετὰ τοῦ ἑλληνικοῦ κειμένου ἐν τῇ βίβλῳ τῶν κανόνων, ἐν Πετρουπ. 1839.

(1) De vir. illustr. c. LXV. « ... scripsit et μετάφρασιν in Ecclesiasten, brevem quidem, sed valde utilem» Comment. in Eccles. c. IV. opp. T. I. p. 424. ed Veron. «Vir Sanctus, Gregorius Ponti episcopus, Origenis auditor in Metaphrasi Ecclesiastæ, ita hunc locum intellexit: *Ego vero praefero...* » Τῷ αὐτῷ ἀποδιδοῦσιν αὐτὴν ὁ Ρουφῖνος H. E. lib. VII. c. 25. «Sed et ingenii sui nobis in parvo maxima monumenta dereliquit: *in Ecclesiasten* namque *Metaphrasin* idem Gregorius magnificentissime scripsit.... » καὶ ὁ Σουΐδας: « ... ἔγραψε δὲ *μετάφρασιν εἰς τὸν Ἐκκλησιαστὴν* ἐλάχιστον μέν, πάνυ δὲ θαυμαστὸν λόγον. .... » Ἡ λέξις οὐδόλως ὁμοιάζει πρὸς τὴν τοῦ Θεολόγου. Τὸ σύγγραμμα ἐξεδόθη ὑπὸ τοῦ Γαλλανδίου T. 3. Bibl. Patr.

[*] Ἰδοὺ οἱ περὶ τούτου λόγοι τοῦ Θαυματουργοῦ: «Ἀλλὰ τὰς μὲν εἰς τὸν πάντων βασιλέα καὶ κηδεμόνα, τὴν διαρκῆ πηγὴν πάντων ἀγαθῶν, εὐφημίας καὶ ὕμνους τῷ κἂν τούτῳ τὴν ἀσθένειαν ἡμῶν ἰωμένῳ, καὶ τὸ ἐνδέον ἀναπληροῦν μόνῳ δυναμένῳ ἐπιτρέψωμεν, τῷ Προστάτῃ τῶν ἡμετέρων ψυχῶν καὶ Σωτῆρι, τῷ

νομικῆς διαφθορᾶς, ὡς ἐπίλογος δὲ χρησιμεύει εὐχή τις τῷ φύλακι Ἀγγέλῳ (1) [α].

Ἐκ τῶν ἄλλων συγγραμμάτων τῶν τῷ ὀνόματι τοῦ ἁγίου Γρηγορίου τοῦ Νεοκαισαρείας κεκοσμημένων τὰ μέν εἰσιν ἀμφίβολα τὴν γνησιότητα, οἷον: ἡ ἔκθεσις τῆς πίστεως πρὸς Αἰλιανόν, οἱ λόγοι εἰς τὰ ἅγια Θεοφάνια καὶ εἰς τοὺς ἁγίους πάντας (2)· τὰ δὲ ἀναμφιβόλως οὐκ ἀνήκουσιν εἰς τὸν ἅγιον Γρηγόριον,

---

πρωτογενεῖ Αὐτοῦ Λόγῳ, τῷ πάντων Δημιουργῷ καὶ Κυβερνήτῃ· αὐτῷ μόνῳ ὑπέρ τε ἑαυτοῦ καὶ ὑπὲρ πάντων ἰδίᾳ τε καὶ ἑκάστου, καὶ ἀθρόον ἅμα δυνατὸν ὂν ἀναπέμπειν διηνεκεῖς καὶ ἀδιαλείπτους τῷ Πατρὶ τὰς εὐχαριστίας· ὅτι αὐτὸς ἡ ἀλήθεια ὤν, καὶ ἡ αὐτοῦ τοῦ Πατρὸς τῶν ὅλων καὶ σοφία καὶ δύναμις, πρὸς δὲ καὶ ἐν αὐτῷ ὤν, καὶ πρὸς αὐτὸν ἀτεχνῶς ἡνωμένος, οὐκ ἔστιν ὅπως ἢ διὰ λήθην ἢ ἀσόφως ἢ ὑπ' ἀσθενείας τινός, ὥσπερ τις ἀπεξενωμένος αὐτοῦ, ἢ οὐκ ἐφίξεται τῇ δυνάμει τῆς δυνάμεως, ἢ ἐφίξεται μέν, ἑκὼν δὲ (ὃ μὴ θέμις εἰπεῖν) ἐάσει τὸν Πατέρα ἀνευφήμητον· μόνῳ τούτῳ δυνατὸν ὂν τελειότατα πᾶσαν ἀποπληρῶσαι τὴν ἀξίαν τῶν αὐτῷ προσηκόντων αἴνων· ὅν τινα αὐτὸς ὁ τῶν ὅλων Πατὴρ ἓν πρὸς αὐτὸν ποιησάμενος, δι' αὐτοῦ μονονουχὶ αὐτὸς αὐτὸν ἐκπεριιών, τῇ ἴσῃ πάντῃ δυνάμει τῇ αὐτοῦ τρόπον τινὰ τιμῴη καὶ τιμῷτο· ὅπερ πρῶτος καὶ μόνος ἔχειν ἔλαχεν ἐκ πάντων τῶν ὄντων ὁ Μονογενὴς αὐτοῦ, ὁ ἐν αὐτῷ Θεὸς Λόγος ». Σ. Μ.

(1) Ἐξεδόθη ὑπὸ Οὐσσίου: Opi S. Greg. Paris. 1621., ὑπὸ Γαλλανδίου bibl. Patr., ἰδιαιτέρως ὑπὸ τοῦ Ἀλβέρτου Βεγγελίου Stutgardiæ, 1722.

[α] Ὅσον ὠφέλιμός ἐστιν ὁ λόγος οὗτος πρὸς βεβαίωσιν τῶν κυρίων τῆς πίστεως κεφαλαίων κατέδειξαν πρῶτον μὲν ὁ Βοῦλλος (Defens. fid. Nic., sect. II. c. 12. §. 4. pag. 153. seqq.), ἔπειτα δὲ ὁ Μαρανὸς (Divin. D. N. I. C, lib. IV, c. 20. pag. 521. seqq.). Σ. Μ.

(2) Τὴν ἔκθεσιν τῆς πίστεως πρὸς Αἰλιανὸν ὁ Μέγας Βασίλειος οὐκ ἐκάλει νόθον, ἀλλὰ μόνον ἐμετρίαζε τὰς ἐκφράσεις αὐτῆς διὰ τῆς ἑρμηνείας αὐτοῦ: « Καθῆκαν δέ τινα πεῖραν δι' ἐπιστολῆς καὶ πρὸς τὸν ὁμόψυχον ἡμῶν Ἄνθιμον, τῶν Τυάνων ἐπίσκοπον, ὡς ἄρα Γρηγορίου εἰπόντος ἐν ἐκθέσει πίστεως, *Πατέρα καὶ Υἱὸν ἐπινοίᾳ μὲν εἶναι δύο, ὑποστάσει δὲ ἕν*. Τοῦτο δὲ ὅτι οὐ δογματικῶς εἴρηται, ἀλλ' ἀγωνιστικῶς ἐν τῇ

οἷά εἰσιν: ἡ κατὰ μέρος πίστις, κεφάλαια περὶ πίστεως δώδεκα, ἐν οἷς καὶ ἀναθεματισμὸς κεῖται καὶ ἑρμηνεία ἑκάστῳ ὑποτέτακται, καὶ εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας Θεοτόκου Παρθένου τῆς Μαρίας τρεῖς λόγοι ([1]).

§ 63. *Ὁ ἅγιος Διονύσιος ὁ Ἀλεξανδρείας.*

Ἕτερος περιφανὴς μαθητὴς τοῦ Ὠριγένους ἦν Διονύσιος, ὁ ἐπικληθεὶς μέγας, ἐπίσκοπος Ἀλεξανδρείας. Ἐγγὺς γενόμενος τοῦ διδασκάλου αὐτοῦ κατὰ τὰς διαθέσεις τῆς καρδίας, οὐκ ἐγκατέλιπε τὸν μετ' αὐτοῦ σύνδεσμον, καὶ ὅτε ἤδη οὐκ ἐποιεῖτο τὰς διατριβὰς ἐν Ἀλεξανδρείᾳ ([2]). Ὁ Διονύσιος, κατὰ τοὺς ἰδίους αὐτοῦ λόγους, ἐπεστράφη πρὸς τὸν Χριστὸν δι' ἐλευθέρας ἐρεύνης, ἀπαθῶς περιεργαζόμενος τὰς ἀνθρωπίνους διδασκαλίας. Γενόμενος μετὰ τὸν Ἡρακλᾶν ἀρχηγὸς τοῦ κατηχητικοῦ διδασκαλείου, μετὰ δὲ ταῦτα

πρὸς Αἰλιανὸν διαλέξει, οὐκ ἠδυνήθησαν συνιδεῖν οἱ ἐπὶ λεπτότητι τῶν φρενῶν ἑαυτοὺς μακαρίζοντες· ἐν ᾗ πολλὰ τῶν ἀπογραψαμένων ἐπὶ σφάλματα ὡς ἐπ' αὐτῶν τῶν λέξεων, δείξομεν ἡμεῖς, ἐὰν ὁ Θεὸς θέλῃ. Ἔπειτα μέντοι τὸν Ἕλληνα πείθων, οὐχ ἡγεῖτο χρῆναι ἀκριβολογεῖσθαι περὶ τὰ ῥήματα· ἀλλ' ἔστιν ὅπῃ καὶ συνδιδόντα τῷ ἔθει τοῦ ἐναγομένου, ὡς ἂν μὴ ἀντιτείνοι πρὸς τὰ καίρια· διὸ δὴ καὶ πολλὰς ἂν εὕροις ἐκεῖ φωνάς, τὰς νῦν τοῖς αἱρετικοῖς μεγίστην ἰσχὺν παρεχομένας,» (ἐπιστ. σι'. 5).

([1]) Οἱ τρεῖς λόγοι εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου συνεγράφησαν μετὰ τὴν ἐν Ἐφέσῳ σύνοδον, καὶ πιθανῶς ἀνήκουσιν εἰς Γρηγόριον ἐκεῖνον τὸν Νεοκαισαρείας, ὃς ἦν γνωστὸς κατὰ τὴν ζ'. οἰκουμενικὴν σύνοδον. Ἡ *κατὰ μέρος πίστις* ἐστὶ σύγγραμμα τοῦ Ἀπολιναρίου, ὡς λέγουσι Λεόντιος ὁ Βυζάντιος (περὶ αἱρέσ. σελ. 540. 707—712), ὁ Εὐάγριος (ἐκκλ. ἱστορ. γ'. 31.) καὶ Εὐλόγιος ὁ Ἀλεξανδρείας (παρὰ Φωτίῳ ἀνάγν. σλ'.). Ἐν τοῖς *κεφαλαίοις περὶ πίστεως* γίγνεται λόγος περὶ τῶν Νεστοριανῶν καὶ Εὐτυχιανῶν κακοδοξιῶν. Ὁ *περὶ ψυχῆς* λόγος ἐστὶ γέννημα τοῦ μέσου αἰῶνος.

([2]) Ὁ Διονύσιος ἐπέστειλε τῷ Ὠριγένει, δεσμίῳ εἰς φυλακὴν ἐπὶ τοῦ Δεκίου κατεχομένῳ (Εὐσ. ἐκκλ. ἱστ. ς'.46). Ὁ Φώτιος λέγει, ὅτι ὁ Διονύσιος πρὸς Θεόκτιστον τὸν τῆς Καισαρείας γράφων, δι' ἐπαίνων τὸν Ὠριγένην ἄγει ἀποθανόντα ἤδη (ἀνάγν. σλβ'.).

ἐπίσκοπος, ἠκολούθει τῷ πρώτῳ αὐτοῦ κανόνι· ἀνεγίνωσκε καὶ ἀνεζήτει τὰ συγγράμματα τῶν αἱρετικῶν, καὶ ἀνεσκεύαζε τὰ συστήματα αὐτῶν ὅτε διεγίνωσκε τὰς πλάνας αὐτῶν. Πρεσβύτερός τις ἐσκανδαλίζετο ἐπὶ τούτῳ, καὶ ἔλεγε τῷ Διονυσίῳ, ὅτι ἡ ἀνάγνωσις τῶν αἱρετικῶν βιβλίων ἐστὶν ἐπικίνδυνος τῇ ψυχικῇ σωτηρίᾳ. Ἀλλ' οὐράνιος φωνή, προσευξαμένου τοῦ Διονυσίου, ἀνήγγειλεν αὐτῷ, ὅτι δύναται ἀναγινώσκειν τὰ βιβλία ταῦτα, ἅτε δὴ ἱκανὸς ὢν κρίνειν περὶ τοῦ περιεχομένου τούτων, πρὸς δὲ ἐρρέθη αὐτῷ, ὅτι τοῦτο γέγονεν ἐξ ἀρχῆς καὶ τῆς πίστεως αὐτοῦ αἴτιον: « Ἀπεδεξάμην τὸ ὅραμα, λέγει ὁ Διονύσιος, ὡς ἀποστολικῇ φωνῇ συντρέχον, τῇ λεγούσῃ πρὸς τοὺς δυνατωτέρους: «γίνεσθε δόκιμοι τραπεζῖται», δηλ. μάθετε πανταχοῦ εὑρίσκειν τὸ συμφέρον ὑμῖν, ἢ μάθετε διακρίνειν τὸ γνήσιον νόμισμα τοῦ κιβδήλου (¹)». Ὁ πρᾷος καὶ ταπεινὸς Διονύσιος πρὸς τῇ μεγαλοφυΐᾳ αὐτοῦ διέπρεψεν ἐπὶ τοῦ ποιμαντικοῦ θρόνου καὶ κατὰ τὸ πνεῦμα τῆς πραότητος καὶ τῆς ταπεινοφροσύνης. Κατὰ τὸν χαλεπὸν τοῦ Δεκίου διωγμὸν ἀπεχώρησε τῶν διωκτῶν πάντῃ ἀπροσδοκήτως, ἀλλά, κατὰ τὴν ἐλπίδα αὐτοῦ, ἀπηλλάγη τῶν χειρῶν τῶν στρατιωτῶν (²). Μένων ἐν ἀποκεκρυμμένῳ τόπῳ, οὐκ ἐπαύετο διοικῶν τὸ ποίμνιον αὐτοῦ καὶ πέμπων αὐτῷ ἐπιστολὰς καὶ πιστοὺς πρεσβυτέρους (³). Ἡ Ἐκκλησία ἔπασχε τότε, εἴπερ ποτὲ καὶ ἄλλοτε ὑπὸ τῶν ἐθνικῶν, καὶ οἱ ἀστήρικτοι ἔπιπτον οὐκ ἀνεχόμενοι τὰς βασάνους καὶ τὰ μαρτύρια· ὁ δὲ Ναυάτος ἐσπάρασσεν ἔτι τὴν Ἐκκλησίαν διὰ τοῦ σχίσματος. Ὁ ἅγιος Διονύσιος ἐδέχετο μετ' ἀγάπης τοὺς ἐκπεπτωκότας τῇ μεσι-

(¹) Εὐσέβ. ἐκκλησ. ἱστορ. ζ'. 7. Νικηφ. ἐκκλ. ἱστορ. ς'. 8. Ἡ ἀποστολικὴ ῥῆσις, ἡ ἀναφερομένη ὑπὸ τοῦ Διονυσίου, ἐστὶν ἀποστολικὴ παράδοσις· ὡς ῥῆσις τοῦ Σωτῆρος ἀναφέρεται ἐν ταῖς ἀποστολ. Διατ. β'. 36. παρὰ τῷ Ὠριγένει εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου Τομ. ιθ'. κεφ. 8. 1. 20. παρὰ τῷ Ἱερωνύμῳ epist. 152. παρὰ τῷ Σωκρ. ἐκκλ. ἱστορ. γ'. 16. Ταύτην ἀνέφερον καὶ πολλοὶ ἄλλοι. ἴδ. Coteler. not. ad lib. II. cap. 36. Const. Apost.

(²) Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 40. 41. Ruinart. Act. Martyr. I. 289—400.

(³) Εὐσέβ. ζ'. 11. ς'. 41.

τεία τῶν ὁμολογητῶν (¹). Πρὸς δὲ τὸν Ναυάτον ἔγραψεν: «Εἰ ἄκων, ὡς φής, ἤχθης, δείξεις, ἂν ἀναχωρήσης ἑκών. Ἔδει μὲν γὰρ καὶ πᾶν ὁτιοῦν παθεῖν ὑπὲρ τοῦ μὴ διακόψαι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἦν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν τοῦ μὴ εἰδωλολατρῆσαι γινομένης ἡ ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία, κατ' ἐμὲ δὲ καὶ μείζων. Ἐκεῖ μὲν γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς Ἐκκλησίας μαρτυρεῖ. Καὶ νῦν δὲ εἰ πείσαις, ἢ βιάσαιο τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν ἐλθεῖν, μεῖζον ἔσται σοι τοῦ σφάλματος τὸ κατόρθωμα, καὶ τὸ μὲν οὐ λογισθήσεται, τὸ δὲ ἐπαινεθήσεται. Εἰ δὲ ἀπειθούντων ἀδυνατοίης, σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν . . . » (²). Ὁ συγκαταβατικὸς ποιμὴν ἐσπούδασε παντὶ σθένει ἀποκαταστῆσαι τὴν εἰρήνην κατὰ τὴν ἐν Ἀντιοχείᾳ συγκροτηθεῖσαν (τῷ 252) σύνοδον.

Ἐπὶ τοῦ Αὐτοκράτορος Γάλλου ἡ ἐξωτερικὴ τῆς Ἐκκλησίας γαλήνη ἐπέτρεψε τῷ Διονυσίῳ ἐνεργῆσαι μετὰ ποιμαντικῆς μερίμνης πρὸς κατάπαυσιν τῆς τρικυμίας τῆς ὑπὸ τοῦ ἐπισκόπου Ἀρσιόνης Νέπωτος ἐγερθείσης. Οὐ μόνον ἔγραψεν ἐν πνεύματι ἀγάπης σύγγραμμα κατ' αὐτοῦ, ἀλλὰ καὶ ἐποιήσατο ἐν τῷ αὐτῷ πνεύματι συνοδικὰς συμβουλίας μετὰ τῶν ὑπερμάχων τοῦ χιλιασμοῦ, καὶ κατώρθωσεν ὅπως ἅπαντες ἐπιστραφῶσιν εἰς τὴν Ἐκκλησιαστικὴν ἑνότητα (³). Μέγα μέρος ἔλαβεν ὁ ἅγιος Διονύσιος καὶ ἐν τῇ περὶ τοῦ βαπτίσματος τῶν αἱρετικῶν ἔριδι (§. 64). Ἐν τῇ περιπτώσει ταύτῃ ἐμερίμνησε πρὸ πάντων ὁ εἰρηνικὸς ποιμὴν περὶ τῆς καταπαύσεως τοῦ σάλου τοῦ ἐκ τούτου ἐγερθέντος ἐν τῇ Ἐκκλησίᾳ, καὶ κατώρθωσεν ἀναχαιτίσαι τοὺς ῥωμαίους ἐπισκόπους τῶν ὑπερβολικῶν αὐτῶν ἀξιώσεων (⁴).

(¹) Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 42.

(²) Αὐτόθ. ς'. 45. ζ'. 8. Hieron. de vir. illustr. c. 69. Κατὰ τὸν αὐτὸν χρόνον ἐγράφησαν διὰ τὸ αὐτὸ ἀντικείμενον αἱ ἐπιστολαὶ περὶ μετανοίας: α'] πρὸς Κόνωνα τὸν ἐπίσκοπον Ἑρμουπόλεως, πρὸς τὸν Λαοδικείας Θηλυμίδρην, καὶ πρὸς τὸν Ἀρμενίας Μερουζάνην (Εὐσέβ. ς'. 46), β'] πρὸς τοὺς ἐν Ῥώμῃ de officio Diaconi (περὶ τοῦ καθήκοντος τοῦ διακόνου), ἔπειτα de pace et poenitentia (περὶ εἰρήνης καὶ μετανοίας) (Hieron ibid.).

(³) Εὐσέβ. ἐκκλ. ἱστ. ζ'. 24.25.

(⁴) Εὐσέβ. ς'. 46. ζ'. 5, 7, 9.

Ἀσχολουμένου δὲ τοῦ ἁγίου Διονυσίου περὶ τὴν εἰρήνην τῆς Ἐκκλησίας, ἐφάνη ἐν Πενταπόλει ὁ Σαβέλλιος μετὰ τῆς αἱρέσεως αὐτοῦ, οὗ ἡ πλάνη οὕτως ἰσχυρὰ ἐγένετο ἐν τῇ ἐπαρχίᾳ τῆς Ἀλεξανδρείας, ὥστε παρεσύρθησαν ὑπ᾽ αὐτῆς καί τινες τῶν ἐπισκόπων. Ὁ ἅγιος Διονύσιος συνεκρότησε συνόδους, ἔγραψεν ἐγκυκλίους ἐπιστολὰς κατὰ τοῦ Σαβελλίου, πειρώμενος διασκεδάσαι τὰς αὐθαιρεσίας τοῦ νοῦ (1).

Αἱ μέριμναι αὗται περὶ τῆς ἐσωτερικῆς εἰρήνης διεκόπησαν αἴφνης (τῷ 257) ὑπὸ τοῦ διωγμοῦ τοῦ Οὐαλεριανοῦ. Ὁ ποιμὴν τῆς Ἀλεξανδρείας συνελήφθη ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ διωγμοῦ, καί, ἀσθενὴς ὤν, ἀπήχθη εἰς τὴν λιβυκὴν ἔρημον. Ἐνταῦθα δὲ οὐ σμικρᾶς ἔτυχε παραμυθίας, ἐπιστρέψας εἰς τὴν ἁγίαν πίστιν πολλοὺς ἐθνικούς. Ἡ ἐπιτυχία τοῦ κηρύγματος αὐτοῦ παρώξυνε τὸν ἔπαρχον Αἰμιλιανόν, οὗ διαταγῇ ἀπήχθη ὁ θεῖος πατὴρ εἰς ἄλλην ἀγριωτέραν ἔρημον, εἰς τὸν Μαρεώτην. Ἐνταῦθα παρεμυθεῖτο, συνδιαλεγόμενος διὰ γραμμάτων τοῖς φίλοις τοῦ Χριστοῦ καὶ τῇ ποίμνῃ αὐτοῦ (2).

Ὁ Διονύσιος ἔγραψε τούτου ἕνεκα πολλὰς ἐπιστολάς: α'] πρὸς τὸν Στέφανον (Εὐσέβ. ζ'. 2, 4, 5)· β'] πρὸς Σίξτον τὸν διάδοχον τοῦ Στεφάνου μίαν τῷ 257 (Εὐσέβ. ζ'. 5), ἑτέραν τῷ 258 (Εὐσέβ. ζ'. 9)· γ'] πρὸς Φιλήμονα τὸν κατὰ Ῥώμην πρεσβύτερον (Εὐσέβ. ζ'. 7.)· δ'] πρὸς τὸν κατὰ Ῥώμην Διονύσιον, *τότε μὲν πρεσβείου ἠξιωμένον, οὐκ εἰς μακρὸν δὲ καὶ τὴν ἐπισκοπὴν τῶν ἐκεῖσε παρειληφότα* (Εὐσέβ. ζ'. 7.). Ἐπειδὴ δὲ ἐκ τῶν πολλῶν αὐτοῦ ἐπιστολῶν ὀλίγαι περιεσώθησαν, οὐ ῥᾴδιον ὁρίσαι, ἕνεκα μάλιστα διαφωνίας τινος τῶν μαρτυριῶν (Hieron de vir. illustr. c. 69· Βασίλ. ὁ μέγας ἐν τῇ πρὸς Ἀμφιλόχιον κανον. ἐπιστολῇ καν. α'.) τίνα δόξαν εἶχεν ὁ Διονύσιος περὶ τοῦ βαπτίσματος τῶν αἱρετικῶν.

(1) Εὐσέβ. ζ'. 6. 26. Hieron. de vir. illustr. c. 69. Ἀθανάσιος ὁ Μ. *περὶ Διονυσίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας. Λέγει, ὅτι καὶ αὐτὸς κατὰ τῆς ἀρειανῆς αἱρέσεως ἐφρόνει, ὡς ἡ ἐν Νικαίᾳ σύνοδος, καὶ μάτην αὐτὸν συκοφαντοῦσιν οἱ Ἀρειομανῖται, ὡς ὁμόδοξον αὐτῶν. Ἐπιστολή.*

(2) Εὐσ. ζ'. 10. 11. Κατὰ τὸν διωγμὸν τοῦ Οὐαλεριανοῦ ἐγράφησαν αἱ ἑξῆς ἐπιστολαί, αἱ περισωθεῖσαι κατὰ μέρη μόνον παρὰ τῷ Εὐσεβίῳ: α'] πρὸς

Τρία ἔτη διέμεινεν ὁ Διονύσιος ἐν τῇ ἐξορίᾳ, ὅθεν ἐπανῆλθεν ἐπὶ τοῦ Αὐτοκράτορος Γαλλιηνοῦ (τῷ 216) εἰς τὸ ποίμνιον αὐτοῦ, ἀλλ' οὐ πρὸς ἀνάπαυσιν. Ἐν Ἀλεξανδρείᾳ ἐξερράγη τότε αἱματηρὰ στάσις([1]), τῷ πολέμῳ ἐπηκολούθησε πεῖνα, ταύτῃ δὲ δεινότατος λοιμός ([2]). Ὁ ἅγιος ποιμὴν ἐμερίμνα περὶ τῶν δυστυχῶν, ἐθνικῶν τε καὶ πιστῶν ([3]). Τῇ λύπῃ, ἣν ἐπὶ τῇ συμφορᾷ ταύτῃ ᾐσθάνετο, προσετέθη καὶ ἑτέρα. Τὸ κατὰ Σαβελλίου σύγγραμμα κατεκρίθη ὡς μὴ ὀρθόδοξον, δι' ὃ ἠναγκάσθη (τῷ 262) γράψαι ἀπολογίαν ([4]).

Αἱ μὲν σωματικαὶ δυνάμεις τοῦ Ὁμολογητοῦ ἤδη ἐξησθένησαν ἔκ τε τῶν ἐτῶν καὶ τῶν κόπων, ἀλλὰ τὸ πνεῦμα αὐτοῦ ἦν ἰσχυρόν. Τῷ 264 προσεκλήθη εἰς τὴν κατὰ τοῦ Παύλου τοῦ Σαμοσατέως συγκροτηθεῖσαν ἐν Ἀντιοχείᾳ σύνοδον, ἀλλ' αἰσθανόμενος ἤδη προσεγγίζον τὸ τέλος οὐ μετέβη μὲν ἐκεῖσε, ἔγραψε δὲ περὶ τοῦ προκειμένου ζητήματος θαυμασίαν ἐπιστολήν, ἣν ἔπεμψεν εἰς τὴν Ἐκκλησίαν τῆς

τὸν ἐπίσκοπον Ἑρμάμωνα (ζ'. 11). ε'. πρὸς τὸν Δομέτιον καὶ Δίδυμον (ζ'. 11. Ὁ Ἱερώνυμος ὁμιλεῖ περὶ ἐπιστ. **ad Alexand. Eccles. de exilio et ad Hieracem in Aegypto episcopum.** Ὑπὸ τὴν πρώτην ἐννοεῖται ἡ παρ' Εὐσεβίῳ ἐπιστ. ζ'. 21: *«τοῖς συμπρεσβυτέροις Ἀλεξανδρείας»*, ἡ δὲ τελευταία ἐγράφη τῷ 262 μετὰ τὴν εἰς Ἀλεξάνδρειαν ἐπάνοδον (Εὐσέβ. ζ'. 22). Ἡ ἐπιστολὴ πρὸς τὸν Φάβιον, ἡ δευτέρα πρὸς τὸν Δομέτιον καὶ Δίδυμον, καὶ ἡ τρίτη πρὸς τὴν Ἐκκλησίαν τῆς Ἀλεξανδρείας καλοῦνται *ἑορταστικαί*, δηλ. πραγματεύονται περὶ τῆς ἑορτῆς τοῦ Πάσχα.

([1]) Εὐσ. ἐκκλ. ἱστ. ζ'. 21. ἠ. 13. 32.

([2]) αὐτόθ. ζ'. 22;

([3]) αὐτόθ. ζ'. 11. Ἐπὶ τούτων τῶν συμφορῶν ἐγράφη ἡ πρὸς τὴν Ἐκκλησίαν τῆς Ἀλεξανδρείας παραμυθητικὴ ἐπιστολὴ (Εὐσ. ζ'. 22), ἡ ἐπιγραφομένη ὑπὸ τοῦ Ἱερωνύμου **de mortalitate.** Κατὰ τὸν αὐτὸν χρόνον ἔγραψε καὶ τὰς ἑξῆς ἐπιστολάς· *περὶ σαββάτου*, *περὶ γυμνασίου*, καὶ τὴν δευτέραν πρὸς *Ἑρμάμωνα* (Εὐσέβ. αὐτόθ. ζ'. 23. **Hieron de vir illustr. c 69**).

([4]) Κατὰ Σαβελλίου ἔγραψεν ἐπιστολάς α) πρὸς Ἄμμωνα, ἐπίσκοπον τῆς Βερενίκης· β) πρὸς Τελεσφόρον· γ) πρὸς Εὐφράνορα· δ) πρὸς Ἄμμωνα καὶ Εὔπορον· ὅτε δὲ αἱ ἐπιστολαὶ αὗται, καὶ ἰδίως αἱ πρὸς τὸν Ἄμμωνα καὶ Εὔπορον προὐκάλεσαν τὴν κατ' αὐτοῦ ἐλεγκτικὴν ἐπιστολὴν τοῦ Ῥώμης Διονυσίου, ἔγραψε τέσσαρα βιβλία ἐν εἴδει ἐπιστολῆς πρὸς ἀπολογίαν αὐτοῦ.

Ἀντιοχείας, καὶ μετ' οὐ πολλὰς ἡμέρας ἐξεδήμησε πρὸς Κύριον(¹).

§ 64 *Φήμη τοῦ ἁγίου Διονυσίου· συγγράμματα περὶ τοῦ χρόνου αὐτοῦ, διδακτικὰ πᾶσι· περὶ εὐταξίας· δογματικὴ διδασκαλία.*

Ἡ ἀρχαιότης ἔδωκεν ὁμοφώνως τῷ Διονυσίῳ τὸ ὄνομα τοῦ μ ε γ ά λ ο υ(²), ὁ δὲ ἅγιος Ἀθανάσιος ἀπεκάλει αὐτὸν δ ι δ ά σ κ α λ ο ν τ ῆ ς κ α θ ο λ ι κ ῆ ς ἐ κ κ λ η σ ί α ς(³). Ὁ Διονύσιος διέπρεπεν ἐπὶ εὐρείᾳ παιδείᾳ· ἐγίνωσκεν, ὡς ἔπος εἰπεῖν, ἄριστα τὰ περὶ τῆς θείας τε καὶ ἀνθρωπίνης σοφίας. Ὑπόθεσις τῶν αὐτοῦ συγγραμμάτων, ἃ ἀφίκοντο μέχρις ἡμῶν κατὰ μέρη καὶ οὐχὶ ἀκέραιά (⁴), εἰσιν αἱ σύγχρονοι

(¹) Hieron de vir illustr. c. 69. Εὐσέβ. ζ'. 27, 28. ἠ. 30. Θεοδώρ. αἱρετ. κακομυθ. β'. 8. Routh.: Reliquiæ Sacræ II, 456—525.

(²) Εὐσέβ. Ἐκκλ. ἱστορ. βιβλ. ζ'. ἐν προοιμ. «Τὸν ἕβδομον τῆς ἐκκλησιαστικῆς ἱστορίας αὖθις ὁ μέγας ἡμῖν Ἀλεξανδρέων ἐπίσκοπος Διονύσιος ἰδίαις φωναῖς συνεκπονήσει». Βασίλειος ὁ Μ. ἐπιστ. πρὸς Ἀμφιλόχ. «Καὶ ἐθαύμασα πῶς κανονικὸν ὄντα τὸν μέγαν Διονύσιον παρῆλθε». — Μαξιμ. εἰς τὸ Διονυσ. τοῦ Ἀρεοπ. περὶ οὐραν. ἱεραρχ. κεφ. ε'. «Ὁ γοῦν μέγας Διονύσιος ὁ Ἀλεξανδρέων ἐπίσκοπος». [ὁ I. — A. Moehler λέγει περὶ τοῦ θείου τούτου πατρὸς τάδε: Ἡ ἀκαταπόνητος αὐτοῦ ἐνέργεια ὑπὲρ τῶν συμφερόντων τῆς καθολικῆς Ἐκκλησίας· ὁ διάπυρος ζῆλος πρὸς τὴν ἐπιστροφὴν τῶν ἐθνικῶν, τὴν εὐημερίαν τῶν πιστῶν, τὴν ἕνωσιν τῶν σχισματικῶν· ἡ εὐστάθεια, δι' ἧς ἐμάχετο πρὸς τὴν πλάνην, καὶ ἡ ἐπιείκεια πρὸς τοὺς ἐκπεπτωκότας· ἡ ἀγάπη αὐτοῦ, ἣ περιέβαλλε σύμπασαν τὴν Ἐκκλησίαν· τὸ ὑψηλὸν θάρρος ἐν ταῖς συμφοραῖς· ἡ ἀκράδαντος σταθερότης ἐν τῇ πίστει, ἡ ἐρασμία τέλος μετριοφροσύνη αὐτοῦ, ἐνῷ οἱ ἀπὸ τοῦ Χριστοῦ ἐθνικῶν μετὰ θαυμασμοῦ τήν τε παιδείαν καὶ τὰς ἀρετὰς αὐτοῦ, ἅπασαι αὗται αἱ ἰδιότητες παρέσχον αὐτῷ παρὰ τῶν κατ' αὐτὸν τὴν ἐπωνυμίαν τοῦ *μεγάλου*, καὶ παρὰ τοῦ ἁγίου Ἀθανασίου τὴν *τοῦ διδασκάλου τῆς καθολικῆς Ἐκκλησίας*». Patrol. T. 2. p. 196. τῆς γαλλικῆς μεταφράσεως. Σ. Μ].

(³) Περὶ Διονυσίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας T. I. σελ. 194. ἴδ. Routh. 2 p. 284. 285.

(⁴) Ὁ ἅγιος Διονύσιος συνέγραψε πλεῖστα συγγράμματα, ὡς τοῦτο δείκνυσιν ὁ κατάλογος αὐτῶν παρὰ τῷ Ἱερωνύμῳ (de vir. illustr. c. 69.), καὶ παρὰ τῷ Εὐσεβίῳ· ἀλλὰ τούτων τὰ πλεῖστα ἀπωλέσθησαν. Τὰ περισωθέντα ἐν μέρει μὲν ὑπὸ τοῦ Εὐσεβίου, ἐν μέρει δὲ ὑπὸ ἄλλων συγγραφέων ἐξεδόθησαν ὑπὸ τοῦ Γαλ-

αὐτῷ συμφοραί, ἡ ἐκκλησιαστικὴ εὐταξία, τὰ δόγματα καὶ ἡ ἑρμηνεία τῆς ἁγίας Γραφῆς.

Αἱ ἐπιστολαὶ τοῦ ἁγίου Διονυσίου εἰσὶ πιστὴ καὶ ἐναργὴς εἰκὼν τῶν κατὰ τῆς Ἐκκλησίας διωγμῶν, τῶν ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ ἐγερθέντων. Τοιαῦται αἱ ἐπιστολαὶ πρὸς τοὺς ἐπισκόπους Φάβιον καὶ Γερμανόν, συγγραφεῖσαι ἐπὶ τοῦ Δεκίου (1), αἱ πρὸς τὸν Ἑρμάμωνα, Δομέτιον καὶ Σίξτον, συγγραφεῖσαι ἐπὶ τοῦ Οὐαλεριανοῦ(2), καὶ τέλος ἡ πρὸς τοὺς Ἀλεξανδρεῖς. Ἐν τῇ τελευταίᾳ θαυμασία ἐστὶν ἡ εἰκὼν τῶν ἀγώνων τῆς χριστιανικῆς ἀγάπης, καὶ τῆς μερίμνης περὶ τῶν ὑπὸ τοῦ λοιμοῦ παθόντων: «Οἱ γοῦν πλεῖστοι τῶν ἀδελφῶν ἡμῶν, γράφει ὁ ἱεράρχης, δι' ὑπερβάλλουσαν ἀγάπην καὶ φιλαδελφίαν, ἀφειδοῦντες ἑαυτῶν καὶ ἀλλήλων ἐχόμενοι, ἐπισκοποῦντες ἀφυλάκτως τοὺς νοσοῦντας, λιπαρῶς ὑπηρετούμενοι, θεραπεύοντες ἐν Χριστῷ, συναπηλλάττοντο ἐκείνοις ἀσμενέστατα, τοῦ παρ' ἑτέρων ἀναπιμπλάμενοι πάθους καὶ τὴν νόσον ἐφ' ἑαυτοὺς ἕλκοντες ἀπὸ τῶν πλησίον καὶ ἑκόντες ἀναμασσόμενοι τὰς ἀλγηδόνας. Καὶ πολλοὶ νοσοκομήσαντες καὶ ῥώσαντες ἑτέρους, ἐτελεύτησαν αὐτοί, τὸν ἐκείνων θάνατον εἰς ἑαυτοὺς μεταστησάμενοι, καὶ τὸ δημῶδες ῥῆμα, μόνης ἀεὶ δοκοῦν φιλοφροσύνης ἔχεσθαι, ἔργῳ δὴ τότε πληροῦντες, ἀπιόντες αὐτῶν περίψημα. Οἱ γοῦν ἄριστοι τῶν παρ' ἡμῖν ἀδελφῶν τοῦτον τὸν τρόπον ἐξεχώρησαν τοῦ βίου, πρεσβύτεροί τέ τινες καὶ διάκονοι καὶ τῶν ἀπὸ τοῦ λαοῦ λίαν ἐπαινούμενοι, ὡς καὶ

λανδίου ἐν τῇ βιβλ. τῶν Πατ. Τ. 3. τῷ 1788. ἰδιαιτέρως δὲ καὶ μετὰ νέων συμπληρώσεων ὑπὸ Σίμωνος Δεμέστρου Romæ 1796. Ὁ Μάϊος (collat. vet. ucat. Romæ 1833) ἐξέδωκεν ἔτι τεμάχια ἐκ τῶν συγγραμμάτων τοῦ Διονυσίου: *περὶ φύσεως* (Τ. VII. p. 98. 107. 108. ἴδ. σημ. 22), *περὶ ἐπαγγελιῶν* (p. 11. 108.) κατὰ τοῦ Νέπωτος· ἐκ τῆς ἐπιστ. πρὸς τὸν *Ἀφροδίσιον* (p. 99. 98. 102. 107.), ἐκ τῆς ἐπιστ. *περὶ γυμνασίου*, *ἐκ τῆς ἀπολογίας*. Ἐν τῇ συλλογῇ clas. auct. Τ. Χ. p. 408. Romæ 1830. ἐδημοσίευσε τεμάχια ἐκ τοῦ *περὶ μετανοίας* συγγράμματος (σημ. 7).

(1) Παρ' Εὐσεβ. ἐκκλ. ἱστορ. ς'. 40. 41. 42. ζ'. 11. Ἡ πρὸ τὸν Φάβιον ἐπιστολὴ παρὰ τῷ Ρουϊνάρτῳ Act. Martyr. 1,289—297.

(2) Παρ' Εὐσεβ. ἐκκλ. ἱστορ. ζ'. 5. 10. ἴδ. ἀνωτέρ. σημ. 11.

τοῦ θανάτου τοῦτο τὸ εἶδος διὰ πολλὴν εὐσέβειαν καὶ πίστιν ἰσχυρὰν γενόμενον μηδὲν ἀποδεῖν μαρτυρίου δοκεῖν. Καὶ τὰ σώματα δὲ τῶν ἁγίων ὑπτίαις χερσὶ καὶ κόλποις ὑπολαμβάνοντες, καθαιροῦντές τε ὀφθαλμοὺς καὶ στόματα συγκλείοντες, ὠμοφοροῦντές τε καὶ διατιθέντες, προσκολλώμενοι, συμπλεκόμενοι, λουτροῖς τε καὶ περιστολαῖς κατακοσμοῦντες, μετὰ μικρῶν ἐτύγχανον τῶν ἴσων, ἀεὶ τῶν ὑπολειπομένων ἐφεπομένων τοῖς πρὸ αὐτῶν. Τὰ δέ γε ἔθνη πᾶν τοὐναντίον· καὶ νοσεῖν τε ἀρχομένους ἀπωθοῦντο, καὶ ἀπέφευγον τοὺς φιλτάτους, κἂν ταῖς ὁδοῖς ἐρρίπτουν ἡμιθνῆτας, καὶ νεκροὺς ἀτάφους ἀπεσκυβαλίζοντο, τὴν τοῦ θανάτου διάδοσιν καὶ κοινωνίαν ἐκτρεπόμεμενοι, ἣν οὐκ ἦν καὶ πολλὰ μηχανωμένοις ἐκκλῖναι ῥᾴδιον». Ἰδοὺ τί σημαίνει χριστιανισμός!

Ὁ ἅγιος Διονύσιος ἐσπούδασεν εἰσαγαγεῖν καὶ στηρίξαι τὴν εὐταξίαν οὐ μόνον ἐν ταῖς Ἐκκλησίαις τῆς Αἰγύπτου, ἀλλὰ καὶ ἐν ταῖς τῆς Ῥώμης, Ἀρμενίας, καὶ ἀλλαχοῦ. Πρὸς τοῦτο δὲ ἔγραψε καὶ ἄλλας τινὰς ἐπιστολάς. Μίαν τῶν περὶ μετανοίας ἐπιστολῶν αὐτοῦ, εἰ καὶ μὴ πλήρη, διέσωσεν ἤδη ὁ Εὐσέβιος [1]. Ἐκ τῶν ἐπιστολῶν τῶν ὑπ' αὐτοῦ συγγραφεισῶν περὶ εὐταξίας πρὸς τὸν Πενταπόλεως ἐπίσκοπον Βασιλείδην μία μέχρι τοῦ νῦν ἔχει δύναμιν ἐκκλησιαστικοῦ κανόνος [2]. Ὁ ἐπίλογος τῆς ἐπιστολῆς ταύτης ἐκφράζει πληρέστατα τὸ πνεῦμα, ᾧ ἔγραφε πρὸς τοὺς ἄλλους τοὺς κανόνας τῆς εὐταξίας. Τῷ ὑφ' ἑαυτὸν ἐπισκόπῳ γράφει: «Ταῦτα σὺ μὲν τιμῶν ἡμᾶς, (οὐ γὰρ ἀγνοῶν, ἀγαπητέ, τὰ πύσματα) ἡμῖν προσήγαγες, ὁμόφρονας ἡμᾶς, ὥσπερ οὖν ἐσμεν, καὶ ἰσοψύχους ἑαυτῷ παρασκευάζων. Ἐγὼ δὲ οὐχ ὡς διδάσκαλος, ἀλλ' ὡς μετὰ πάσης ἁπλότητος προσῆκον ἡμᾶς ἀλλήλοις διαλέγεσθαι, εἰς κοινὸν τὴν διάνοιαν ἐμαυτοῦ ἐξέθηκα· ἣν ἐπικρίνας καὶ σύ, συνετώτατέ μου υἱέ, ὅ,τι ἂν σοὶ φανῇ δίκαιον καὶ βέλτιον, ἢ καὶ οὕτως ἔχειν δοκιμάζῃς, περὶ αὐτῶν ἀντιγράψεις». Ἡ Ἐκκλη-

(1) Ἴδ. σημ. 7. 11.

(2) Ὁ Εὐσέβιος (ἐκκλ. ἱστορ. ζ'. 26.) καὶ ὁ Ἱερώνυμος (catal. c. 69) μνημονεύουσιν ἐπιστολῶν τινων πρὸς Βασιλείδην τὸν Πενταπόλεως ἐπίσκοπον, ἀλλὰ μία μόνον διεσώθη.

σία εὗρεν ἅπασαν τὴν ἐπιστολὴν ὠφέλιμον, καὶ κατέταξεν ἐν ταῖς ἐκκλησιαστικαῖς διατάξεσι (1).

Δογματικὰ τοῦ Διονυσίου συγγράμματά εἰσιν: ἡ περὶ φύσεως πραγματεία, ἡ ἀπολογία, καὶ τὸ κατὰ τοῦ Νέπωτος σύγγραμμα.

Ἡ περὶ φύσεως πραγματεία ἐστὶ φιλοσοφικόν τε καὶ θεολογικὸν σύγγραμμα, ἐν ᾧ ἀνασκευάζει τὴν περὶ Δημιουργίας καὶ Προνοίας τοῦ κόσμου Ἐπικούρειον δοξασίαν. Ἡ τοῦ κόσμου ἐξάρτησις παρὰ τοῦ παναγάθου Θεοῦ δείκνυται ἐνταῦθα ἔκ τε τῆς τοῦ παντὸς συστάσεως καὶ τῆς τοῦ ἀνθρώπου φύσεως (2).

»Οἰκία τε ἀνοικοδομεῖται καὶ πόλις, λέγει ὁ ἅγιος Διονύσιος, οὐ τοὺς μέν τινας δεχομένη θεμελίοις αὐτομολοῦντας λίθους, τοὺς δὲ ἀναπηδῶντας εἰς τὰς ἐπιβολάς, ἀλλὰ κατὰ χώραν ὁ τοιχοδόμος τοὺς εὐθέτους ἐπιφέρει· καταρριφθείσης δέ, ὡς ἂν παρείκῃ, κατενεχθεὶς ἕκαστος ἀπεσφάλη. Καὶ κατασκευαζομένης νεὼς οὐχ ἡ μέν τις ὑπέβαλεν ἑαυτὴν τρόπις, ὁ δὲ κατὰ μέσην ἑαυτὸν ἱστὸς ὤρθωσε, καὶ τῶν ἄλλων ἕκαστον ξύλον ἣν ἔτυχεν ἐξ ἑαυτοῦ θέσιν κατέλαβεν· οὐδὲ τὰ λεγόμενα ἑκατὸν τῆς ἁμάξης ξύλα καθ' ὃν εὗρε κενὸν τόπον ἕκαστον συνεπάγη, ἀλλ' ὁ τέκτων ἑκατέρας συνεκόμισε καίριον· εἰ δὲ διαλυθείη ἡ ναῦς ἐνθαλασσεύουσα, ἢ φερομένη κατὰ γῆν ἅμαξα, ὅπῃ τύχῃ τὰ ξύλα, τὰ μὲν ὑπὸ τῶν κυμάτων, τὰ δὲ ὑπὸ τῆς συντόνου ῥύμης διασπείρεται. Οὕτως ἂν ἁρμόζοι λέγειν αὐτοῖς καὶ τὰς ἀτόμους, ἀργὰς μενούσας καὶ ἀχειροποιήτους καὶ ἀχρήστους, εἰκῆ φέρεσθαι. Ὁράτωσαν γὰρ τὰς ἀθεάτους ἐκεῖνοι καὶ τὰς ἀνοήτους νοείτωσαν, οὐχ ὁμοίως ἐκείνῳ, ὃς φανερωθὲν ἑαυτῷ τοῦτο ὑπὸ τοῦ Θεοῦ πρὸς αὐτὸν ὁμολογεῖ «τὸ ἀκατέργαστόν σου εἴδοσαν οἱ ὀφθαλμοί μου.» Ὅταν δὲ καὶ ἅ φασιν ἐξ ἀτόμων ὑφ-

(1) Ἴδ. τὸν β'. καν. τῆς ἐν Τρούλλῳ συνόδου. Beveregii Pandat. 5-2. Oxonii 1672—Galland. Bibl. Patr. T. 3.

(2). Τεμάχια τοῦ συγγράμματος τούτου διεσώθησαν παρ' Εὐσεβίῳ (Εὐαγγελ. Προπαρ. βιβλ. ιδ'. κεφ. 23—27.)· ἐξεδόθησαν ὑπὸ τοῦ Γαλλανδίου καὶ τοῦ Ρουθίου Reliquia Sacræ T. 4. p. 345 — 370 μετὰ σημειώσεων p. 371 — 384· ἄλλα δὲ ἐξεδόθησαν ὑπὸ τοῦ Μαΐου (σημ. 20).

άσματα γίνεσθαι τὰ εὐήτρια, ταῦθ᾽ ὑπ᾽ αὐτῶν ἀσόφως καὶ ἀναισθήτως αὐτουργεῖσθαι λέγωσι, τίς ἀνέξεται τὰς ἀτόμους ἀκούων ἐρίθους, ὧν καὶ ὁ ἀράχνης ἐστὶ σοφώτερος χειροτεχνῶν ἐξ ἑαυτοῦ; Ἢ τὸν μέγαν τοῦτον οἶκον τὸν ἐξ οὐρανοῦ καὶ γῆς συνεστῶτα, καὶ διὰ τὸ μέγεθος καὶ πλῆθος τῆς ἐπιφαινομένης αὐτῷ σοφίας καλούμενον κόσμον, ὑπὸ τῶν σὺν οὐδενὶ κόσμῳ φερομένων ἀτόμων κεκοσμῆσθαι καὶ γεγονέναι κόσμον ἀκοσμίαν; Πῶς δὲ κινήσεις καὶ ὁδοὺς εὐτάκτους ἐξ ἀτάκτου προάγεσθαι φορᾶς; πῶς δὲ τὴν παναρμόνιον τῶν οὐρανίων χορείαν ἐξ ἀμούσων καὶ ἀναρμόστων συνᾴδειν ὀργάνων; »

Ἐκ τῶν πρὸς Σαβέλλιον αὐτῷ γεγυμνασμένων βιβλίων διεσώθη ἀξιόλογος μελέτη περὶ τοῦ μὴ ἀγέννητον εἶναι τὴν ὕλην(α).

(α) Ἰδοὺ αὕτη: «Οὐδ᾽ ἐκεῖνοι μὲν γὰρ ὅσιοι οἱ τὴν ὕλην ὡς ἀγέννητον ὑποχείριον εἰς διακόσμησιν διδόντες τῷ Θεῷ· παθητὴν γὰρ αὐτὴν καὶ τρεπτὴν ὑπάρχουσαν εἴκειν ταῖς θεοποιήτοις ἀλλοιώσεσι. Καὶ πόθεν γὰρ ὑπάρχει καὶ τῷ Θεῷ καὶ τῇ ὕλῃ τό τε ὅμοιον καὶ τὸ ἀνόμοιον, διασαφείτωσαν. Ἑκατέρου γὰρ δεῖ τινὰ ἐπινοῆσαι κρείττονα, ὃ μηδὲ θεμιτὸν ἐννοῆσαι περὶ τοῦ Θεοῦ. Τό τε γὰρ ἀγέννητον, ὅμοιον ἐν ἀμφοτέροις λεγόμενον, καὶ ἕτερον νοούμενον παρ᾽ ἑκάτερον, πόθεν ἐν αὐτοῖς ἐγένετο; Εἰ μὲν γὰρ αὐτὸ ἀγέννητόν ἐστιν ὁ Θεός, καὶ οὐσία ἐστὶν αὐτοῦ, ὡς ἂν εἴποι τις ἡ ἀγεννησία, οὐκ ἂν ἀγέννητον εἴη ἡ ὕλη· (οὐ γὰρ ταὐτόν ἐστιν ἡ ὕλη καὶ ὁ Θεός·) εἰ δὲ ἑκάτερον μέν ἐστιν, ὅπερ ἐστὶν ἡ ὕλη καὶ ὁ Θεός, πρόσεστι δὲ ἀμφοτέροις τὸ ἀγέννητον, δῆλον ὡς ἕτερόν ἐστιν ἑκατέρου, καὶ ἀμφοτέρων πρεσβύτερόν τε καὶ ἀνωτέρω. Ἀνατρεπτικὴ δὲ παντελῶς καὶ τοῦ ταῦτα συνυπάρχειν, μᾶλλον δὲ τοῦτο ἕτερον αὐτῶν τὴν ὕλην ἐφ᾽ ἑαυτῆς ὑπάρχειν, καὶ ἡ τῆς ἐναντίας ἕξεως διαφορά. Εἰπάτωσαν γὰρ τὴν αἰτίαν, δι᾽ ἥν, ἀμφοτέρων ὄντων ἀγεννήτων, ὁ μὲν Θεὸς ἀπαθής, ἄτρεπτος, ἀκίνητος, ἐργαστικός, ἡ δὲ τὰ ἐναντία παθητή, τρεπτή, ἄστατος, μεταποιουμένη. Καὶ πῶς ἥρμοσαν καὶ συνέδραμον; πότερον κατὰ τὴν τῆς ὕλης φύσιν ἐξοικειώσας ἑαυτὸν ἐτεχνήτευσεν αὐτὴν ὁ Θεός; ἀλλὰ τοῦτό γε ἄτοπον ὁμοίως ἀνθρώποις χρυσοχοεῖν καὶ λιθουργεῖν καὶ κατὰ τὰς ἄλλας τέχνας, ὅσας αἱ ὕλαι μορφοῦσθαι καὶ τυποῦσθαι δύνανται, χειροκμητεῖν τὸν Θεόν. Εἰ δὲ οἵαν αὐτὸς ἐβούλετο κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐποίωσε τὴν ὕλην, τὸ πολύμορφον καὶ παμποίκιλον τῆς δημιουργίας ἑαυτοῦ σχῆμα καὶ τύπον ἐνσφραγιζόμενος αὐτῇ, καὶ εὔφημος καὶ ἀληθὴς οὗτος ὁ λόγος, καὶ προσέτι καὶ τὴν ὑπόστα-

Ὁ ἅγιος Διονύσιος ἔγραψεν ἀ π ο λ ο γ ί α ν ὑπερασπίζων τὰ ὀρθόδοξα αὐτοῦ φρονήματα. Ἡ περὶ τῆς κακοδοξίας αὐτοῦ ὑπόνοια ἠρείδετο ἐπὶ τούτου, ὅτι ἐλέγχων τὸν Σαβέλλιον ἀρνούμενον ἐν τῷ Πατρί, τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι τρία πρόσωπα, καὶ παραδεχόμενον μόνον τρία ὀνόματα ἑνὸς Θεοῦ, ἐποιήσατο χρῆσιν τοιούτων ἐκφράσεων, αἵτινες λίαν τολμηρῶς κατὰ τὸ φαινόμενον, ἐδείκνυον τὴν διαστολὴν τῶν προσώπων. Τοῦτο δὲ ἦν μᾶλλον ἀποτέλεσμα ἀνθρωπίνης ἀσθενείας, διότι οἱ ἑρμηνευταὶ τῶν λόγων αὐτοῦ, ὡς ἔγραφεν, ἀνέφερον τὰς ἐκφράσεις αὐτοῦ οὐχ ὅπως ὑπ' αὐτοῦ ἐγράφησαν· μόνον δὲ διότι εἶπεν, ὅτι ἐν τῇ ἁγίᾳ Γραφῇ οὐχ εὕρηται ἡ λέξις ὁ μ ο ο ύ σ ι ο ς, κατέταξαν αὐτὸν ἐν τοῖς ἀρνουμένοις τὸ ὁμοούσιον τοῦ Υἱοῦ τοῦ Θεοῦ τῷ Πατρί. Τούτου ἕνεκεν ἔγραψε πρὸς τὸν Ρώμης Διονύσιον τέσσαρας ἐπιστολάς, ἐν αἷς καὶ πάλιν ἤλεγξε τὸν Σαβέλλιον, καὶ πρὸς ἰδίαν ἀπολογίαν ἐξηγήσατο ἐν τίνι ἐννοίᾳ ἐχρήσατο ταῖς ὑπὸ τῶν ἄλλων παρανοηθείσαις ἐκφράσεσιν αὐτοῦ. «Ἀπαύγασμα δὲ ὢν φωτὸς ἀϊδίου, πάντως καὶ αὐτὸς ἀΐδιός ἐστιν· ὄντος γὰρ ἀεὶ τοῦ φωτός, δῆλον, ὡς ἔστιν ἀεὶ καὶ ἀπαύγασμα· τοῦτο γὰρ ὅ,τι φῶς ἐστι τῷ καταυγάζειν νοεῖται· καὶ φῶς οὐ δύναται μὴ φωτίζον εἶναι. Πάλιν γὰρ ἔλθωμεν ἐπὶ τὰ παραδείγματα. Εἰ ἔστιν ὁ Ἥλιος, ἐστὶν αὐγή, ἔστιν ἡμέρα. Εἰ τοιούτων μηδέν ἐστι, πολύ γε δεῖ καὶ παρεῖναι Ἥλιον. Εἰ μὲν οὖν ἀΐδιος ὁ Ἥλιος, ἄπαυστος ἂν ἦν καὶ ἡ ἡμέρα· νῦν δὲ οὐ γὰρ ἔστιν, ἀρξαμένου τε, ἤρξατο, καὶ παυομένου, παύεται· ὁ δέ γε Θεὸς αἰώνιόν ἐστι φῶς, οὔτε ἀρξάμενον, οὔτε λῆξον ποτέ, οὐκοῦν αἰώνιον πρόκειται, καὶ σύνεστιν αὐτῷ τὸ ἐπαύγασμα ἄναρχον καὶ ἀειγενές, προφαινόμενον αὐτοῦ, ὅπερ ἐστὶν ἡ λέγουσα Σοφία· ἐγὼ ἤμην, ᾗ προσέχαιρε· καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ. . . . . Οὗτος οὖν αἰωνίου τοῦ Πατρὸς καὶ αἰώνιος ὁ Υἱός ἐστι, φῶς ἐκ φωτὸς ὤν· ὄντος γὰρ γονέως, ἔστι καὶ τέκνον· εἰ δὲ μὴ τέκνον εἴη, πῶς καὶ τίνος εἶναι δύναται γονέως; Ἀλλ' εἰσὶν ἄμφω, καὶ εἰσὶν ἀεί. . . .

σιν τῶν ὅλων τὸν Θεὸν ἀγέννητον εἶναι κρατύνει. Τῷ γὰρ εἶναι ἀγέννητον ἅμα καὶ τὸ πῶς εἶναι προσῆψε. Πολὺς μὲν οὖν καὶ πρὸς τούτους ὁ λόγος, ἀλλ' οὐ νῦν ἡμῖν πρόκειται· συγκρίσει δὲ τῇ πρὸς τοὺς ἀθεωτάτους πολυθέους εὐφημότεροι οὗτοι».

Εἶτα τοῖς ἱκνουμένοις καὶ προσφυεστέροις ἐνδιέτριψα, καὶ πλέον διεξῆλθον περὶ τῶν ἀληθεστέρων, ποικίλα προσεξεπευρὼν τεκμήρια, ἅπερ καὶ σοὶ δι' ἄλλης ἐπιστολῆς ἔγραψα· ἐν οἷς ἤλεγξα καὶ ὃ προφέρουσιν ἔγκλημα κατ' ἐμοῦ ψεῦδος ὄν, ὡς οὐ λέγοντος τὸν Χριστὸν ὁμοούσιον εἶναι τῷ Θεῷ. Εἰ γὰρ καὶ τὸ ὄνομα τοῦτό φημι μὴ εὑρηκέναι μηδ' ἀνεγνωκέναι που τῶν ἁγίων Γραφῶν· ἀλλά γε τὰ ἐπιχειρήματά μου τὰ ἑξῆς, ἃ σεσιωπήκασι, τῆς διανοίας ταύτης οὐκ ἀπᾴδει (δηλ. ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐστιν ὁμοούσιος τῷ Πατρί)... «Τῶν ὑπ' ἐμοῦ λεχθέντων ὀνομάτων ἕκαστον ἀχώριστόν ἐστι καὶ ἀδιαίρετον τοῦ πλησίον. Πατέρα εἶπον, καὶ πρὶν ἐπαγάγω τὸν Υἱόν, ἐσήμανα καὶ τοῦτον ἐν τῷ Πατρί. Υἱὸν ἐπήγαγον, εἰ καὶ μὴ προειρήκειν τὸν Πατέρα, πάντως ἂν ἐν τῷ Υἱῷ προείληπτο. Ἅγιον Πνεῦμα προσέθηκα, ἀλλ' ἅμα καὶ πόθεν καὶ διὰ τίνος ἧκεν ἐφήρμοσα... Οὕτω μὲν ἡμεῖς εἴς τε τὴν Τριάδα τὴν μονάδα πλατύνομεν ἀδιαίρετον, καὶ τὴν Τριάδα πάλιν ἀμείωτον εἰς τὴν μονάδα συγκεφαλαιούμεθα.» Ἐν τῷ ἐπιλόγῳ ἔγραψε: «Τούτοις πᾶσιν ἀκολούθως καὶ ἡμεῖς, καὶ δὴ παρὰ τῶν πρὸ ἡμῶν πρεσβυτέρων τύπον καὶ κανόνα παρειληφότες, ὁμοφώνως τε αὐτοῖς προσευχαριστοῦντες, καὶ δὴ καὶ νῦν ὑμῖν ἐπιστέλλοντες καταπαύομεν. Τῷ δὲ Θεῷ Πατρὶ καὶ Υἱῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν» (1).

Τὸ συμβεβηκὸς τοῦτο ἐστὶ διττῶς διδακτικόν: α') δείκνυσιν πόσον ἀλόγως πράττουσί τινες ἔτι καὶ νῦν, ὅτε, μὴ εὑρίσκοντες παρὰ τοῖς ἀρχαίοις διδασκάλοις λέξιν τινὰ μετέπειτα εἰσαχθεῖσαν, ἀποφαίνονται, ὅτι καὶ ἡ ἔννοια ἡ ὑπὸ τῆς λέξεως ταύτης δηλουμένη,

(1) Οἱ Ἀρειανοὶ οὐκ ἐπαύοντο ἀναφέροντες τὸν ἅγιον Διονύσιον ὡς ὑπερασπιστὴν τῶν δοξασιῶν αὐτῶν· ἀλλ' ὁ ἅγιος Ἀθανάσιος ὑπερήσπισε τὴν δόξαν τοῦ μεγάλου διδασκάλου ἰδίᾳ ἀπολογίᾳ. Ὁ μέγας Βασίλειος ἔν τινι τῶν ἐπιστολῶν αὐτοῦ (ἐπ. μά.) ἐσημείωσεν, ὅτι ὁ Διονύσιος *ὑπηνέχθη ὑπὸ τῆς ἄγαν φιλοτιμίας*, ἀλλ', ὡς οὗτος λέγει, ἔγραψε, φήμῃ ἐρειδόμενος ... «Τῶν Διονυσίου ἦλθε μὲν εἰς ἡμᾶς καὶ πάνυ πολλά· οὐ πάρεστί γε μὴν τὰ βιβλία». Ἐφεξῆς δὲ ἐν τῷ *περὶ τοῦ ἁγίου Πνεύματος* βιβλίῳ κεφ. κθ'. ἐχρήσατο μαρτυρίαις ἐκ τοῦ συγγράμματος τούτου τοῦ Διονυσίου (κεφ. κθ'.)

οὐχ ὑπῆρχε παρὰ τοῖς διδασκάλοις ἐκείνοις· β΄) τὸ παράδειγμα τῆς ρωμαϊκῆς Ἐκκλησίας, ἐξεγερθείσης κατὰ τῆς γνώμης τοῦ ἁγίου Διονυσίου τοῦ Ἀλεξανδρείας ὡς ἀρνουμένου δῆθεν τὸ ὁμοούσιον τοῦ Υἱοῦ τοῦ Θεοῦ τῷ Πατρί, δείκνυσι προφανέστατα μεθ' ἡλίκης εὐσταθείας ἡ ἀρχαία Ἐκκλησία ἐπίστευε καὶ ἐτήρει τὴν εἰς τὴν Θεότητα τοῦ Υἱοῦ Θεοῦ πίστιν.

§ 65. *Κατὰ τῶν Χιλιαστῶν· ἑρμηνεία εἰς τὴν ἁγίαν Γραφήν· ὑποβολιμαῖον σύγγραμμα.*

Ἐν τῇ κατὰ τῶν Χιλιαστῶν ἔριδι ὁ ἅγιος Διονύσιος ἀπέδειξεν, ὅτι ἡ ἀλληγορικὴ ἑρμηνεία τῆς ἁγίας Γραφῆς, ἣν ἐπιμελῶς ἐδιδάχθη παρὰ τῷ Ὠριγένει, ἐρείδεται ἐπὶ τῆς θείας Γραφῆς, καὶ δυνάμεθα ποιεῖσθαι χρῆσιν αὐτῆς, προμαχόμενοι τῆς ἀληθείας. Νέπως, ὁ ἐπίσκοπος Αἰγύπτου, συνέγραψε σύγγραμμα κατὰ τῶν ἀλληγοριστῶν, ἐν ᾧ παρεδέχετο τὴν χιλιετῆ τοῦ Χριστοῦ βασιλείαν, τὴν ἐν τῇ Ἀποκαλύψει ἐξεικονιζομένην ὡς ἐπίγειον βασιλείαν μετὰ γηΐνων ἡδονῶν. Τὴν δοξασίαν αὐτοῦ οὕτως ὑπερήσπιζον ἐπὶ τοῦ ἁγίου Διονυσίου, κατ' ἐξοχὴν ἐν τῇ ἐπαρχίᾳ τῆς Πενταπόλεως, ὥστε προῆλθεν ἐκ τούτου σχίσμα. Ὁ ἅγιος Διονύσιος ἔγραψε περὶ ἐπαγγελιῶν κατὰ τοῦ Νέπωτος. Ἐν μὲν τῷ πρώτῳ μέρει τοῦ συγγράμματος αὐτοῦ ἀπεφήνατο, ὅτι τὰς περὶ τῆς βασιλείας τοῦ Μεσσίου ἐπαγγελίας ἐκληπτέον οὐ κατὰ γραμματικὴν σημασίαν, ἀλλὰ κατὰ πνευματικήν, καὶ τοῦτο ἀπέδειξεν ἄριστα ἔκ τε τῆς Ἀποκαλύψεως καὶ τῆς θεωρίας τῆς φύσεως τοῦ ἀνθρώπου. Ἐν δὲ τῷ δευτέρῳ μέρει ἐξετάζει τὴν Ἀποκάλυψιν, ἐφ' ἧς οἱ Χιλιασταὶ ἐστήριζον τὴν ἑαυτῶν διδασκαλίαν. Ἐν πρώτοις λέγει, ὅτι τινὲς οὐ παρεδέχοντο τὸ βιβλίον τοῦτο ὡς ἔργον ἁγίου τινὸς ἀνδρός. «Ἐγὼ δέ, λέγει, ἀθετῆσαι μὲν οὐκ ἂν τολμήσαιμι τὸ βιβλίον, πολλῶν αὐτὸ διὰ σπουδὴν ἐχόντων ἀνδρῶν· μείζονα δὲ τῆς ἐμαυτοῦ φρονήσεως τὴν ὑπόληψιν τὴν περὶ αὐτοῦ λαμβάνων, κεκρυμμένην εἶναί τινα καὶ θαυμασιωτέραν τὴν καθ' ἕκαστον ἐκδοχὴν ὑπολαμβάνω». Εἶτα δ' ἐπάγει, ὅτι τὸ βιβλίον τοῦτό ἐστιν ἔργον ἁγίου τινὸς καὶ θεοπνεύστου ἀνδρός, καὶ συνεγράφη ὑπὸ Ἰωάννου· ἀλλ' οὐ παραδέχεται, ὅτι συνεγράφη ὑπὸ Ἰωάννου τοῦ Ἀποστόλου, συγγραφέα αὐτοῦ

ἡγούμενος Ἰωάννην τὸν πρεσβύτερον. «Ἄλλον δέ τινα (Ἰωάννην) οἶμαι τῶν ἐν Ἀσίᾳ γενομένων· ἐπεὶ καὶ δύο φασὶν ἐν Ἐφέσῳ γενέσθαι μνήματα, καὶ ἑκάτερον Ἰωάννου λέγεσθαι.» Ὁ Διονύσιος παραβάλλει τὰς λέξεις καὶ τὰς ἐκφράσεις τῆς Ἀποκαλύψεως πρὸς τὰς τῶν ἐπιστολῶν καὶ τοῦ Εὐαγγελίου τοῦ Ἀποστόλου (1).

Εἰ καὶ ὁ Διονύσιος ἐν τῇ πρὸς τοὺς Χιλιαστὰς πάλῃ δείκνυσι βαθεῖαν κρίσιν, καὶ ἡ ἐπιθυμία τοῦ ἀνασκευάσαι τὰ λῃρήματα αὐτῶν ἐστιν ἐπαινετή, ὅμως ἡ περὶ τοῦ Συγγραφέως τῆς Ἀποκαλύψεως γνώμη αὐτοῦ οὐκ ἔστιν ὀρθή· α′) διότι ἕτερος πρεσβύτερος Ἰωάννης ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἐφέσου οὐκ ἦν ἐκτὸς τοῦ Ἀποστόλου Ἰωάννου,—ὡς τοῦτο δῆλον πρὸς τοῖς ἄλλοις ἐκ τῶν λόγων τοῦ ἐπισκόπου Ἐφέσου Πολυκράτους, ἀκμάσαντος κατὰ τὸν δεύτερον αἰῶνα. Τὰ δύο μνημεῖα, ἐφ᾽ ὧν ὁ Διονύσιος στηρίζει τὴν ἑαυτοῦ γνώμην περὶ τῶν δύο Ἰωαννῶν, ἠδύναντο εἶναι, καὶ ἦσαν ἀφιερωμένα μόνῳ τῷ Ἀποστόλῳ, ὡς περὶ τούτου λέγει, κατὰ παράδοσιν, ὁ Ἱερώνυμος (2). β′) Ὁ ἅγιος Πολύκαρπος, ὁ Σμύρνης ἐπίσκοπος καὶ μαθητὴς τοῦ Ἀποστόλου Ἰωάννου, μαρτυρεῖ, ὅτι ἡ Ἀποκάλυψις συνεγράφη ὑπὸ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου. Τὸ αὐτό, ὡς εἴδομεν, ἐφρόνουν ὅ τε Εἰρηναῖος καὶ ὁ Μελίτων, ζήσαντες ἐγγὺς τῶν ἀποστολικῶν χρόνων καὶ ἐν αὐτῇ τῇ Ἀσίᾳ (3). Ἐκ τούτου ἄρα ἕπεται, ὅτι ἡ ἱστορία οὐκ ἔστιν ὑπὲρ τῆς γνώμης τοῦ Διονυσίου (4).

Λυπηρόν, ὅτι τὰ ἑρμηνευτικὰ συγγράμματα τοιούτου μεγάλου κριτικοῦ, οἷος ἦν ὁ Διονύσιος, ἅπαντα σχεδὸν ἀπωλέσθησαν. Ἐν τῇ ἑρμηνείᾳ εἰς τὸν Λουκᾶν κβ′. 42 γράφει: «ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς καὶ ἐν τῷ Ματθαίῳ καὶ ἐν τῷ Ἰωάννῃ διήλθομεν· τὰ δὲ καὶ ἐν τῷ Μάρκῳ, Θεοῦ διδόντος, ἐροῦμεν.» Ἔγραψε τοίνυν ἑρμηνείαν εἰς τὰ τέσσαρα Εὐαγγέλια. Ἀλλὰ μέχρι τοῦ νῦν εὑρέθη μόνον ἡ

(1) Εὐσέβ. Ἐκκλ. ἱστορ. ζ′. 24. 25.

(2) De vir. illustr. c. 9.

(3) Εἰρην. κατὰ αἱρεσ. βιβλ. δ′. κεφ. 20. Ἴδ. περὶ Πολυκάρπου, Εἰρηναίου, Μελίτωνος, Ὠριγένους.

(4) Ἐν τούτοις ὁ Διονύσιος ἐν τῇ πρὸς Ἑρμάμμωνα ἐπιστολῇ παρ᾽ Εὐσέβ. ζ′. καὶ 10 (ἴδ. σημ. 11) ἀναφέρει ῥήσεις ἐκ τῆς Ἀποκαλύψεως ιγ′. 5 ὡς προφητικὴν μαρτυρίαν.

ἑρμηνεία εἰς τὸ κβ΄. κεφ. τοῦ Λουκᾶ, στίχ. 42—48 (¹). Ὁ Εὐσέβιος γράφει περὶ αὐτοῦ: «Ἐπὶ τούτοις καὶ Βασιλείδῃ τῶν κατὰ Πεντάπολιν παροικιῶν ἐπισκόπῳ γράφων, φησὶν ἑαυτὸν εἰς τὴν ἀρχὴν ἐξήγησιν πεποιῆσθαι τοῦ Ἐκκλησιαστοῦ» (²). Ἡ ἑρμηνεία εἰς τὴν ἀρχὴν τοῦ Ἐκκλησιαστοῦ (κεφ. α΄. - γ΄.) ἀφίκετο μέχρις ἡμῶν (³). Βραχέα τινὰ προσέτι διεσώθησαν ἐκ τῆς ἑρμηνείας εἰς τὸν Ἰὼβ καὶ εἴς τινας ἀποστολικὰς ἐπιστολάς (⁴).

Ἐν ᾧ τοσαῦτα συγγράμματα τοῦ μεγάλου Διονυσίου ἀπωλέσθησαν, τὸ ὄνομα αὐτοῦ κοσμεῖ ξένα ὅλως συγγράμματα ἀσθενοῦς διανοίας. Οὕτως ὑπὸ τὸ ὄνομα αὐτοῦ φέρεται ἐπιστολὴ πρὸς Παῦλον τὸν Σαμοσατέα (⁵), ἧς οὐκ ἔστι συγγραφεύς, ὡς τοῦτο δῆλον α] ἐκ τοῦ ὅτι ἐγράφη οὐ κατὰ τὸ λεκτικὸν τοῦ Διονυσίου· β] ἐκ τοῦ ὅτι ἠγνόουν αὐτὴν οἱ ἀρχαῖοι· ἄλλως δ' ἀναμφιβόλως ἐμνημόνευσεν ἂν αὐτῆς ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ ὑπὲρ τοῦ Διονυσίου ἀπολογίᾳ αὐτοῦ, διότι ἐν αὐτῇ γίγνεται μνεία τῆς λέξεως ὁμοούσιος· γ] ἐκ τοῦ ὅτι ὁ συγγραφεὺς φαίνεται οὐ γινώσκων καλῶς τὸν Παῦλον, λέγων, ὅτι ἀπεδέχετο δύο πρόσωπα ἐν τῷ Χριστῷ, δύο υἱούς, καὶ τὰ παρόμοια· δ] ἐκ τοῦ ὅτι ἡ λέξις Θεοτόκος καὶ ἄλλαι παρόμοιαι ἀποδεικνύουσιν, ὅτι ἡ ἐπιστολὴ συνεγράφη μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον [*].

(¹) Παρὰ Γαλλανδίῳ Τ. XIV. Ἐν τῇ Πατρολ. τοῦ Μιγνίου Τ. Χ. μετὰ συμπληρώσεων.

(²) Ἐκκλ. ἱστορ. ζ΄. 26.

(³) Ἐξεδ. ὑπὸ τοῦ Γαλλανδίου καὶ τοῦ Μιγνίου Patrol. tom. X.

(⁴) Ἐκ τῆς ἑρμηνείας εἰς τὸ βιβλίον τοῦ Ἰὼβ χωρία τινὰ ἀρκούντως μακρὰ διέσωσεν ὁ Ἡρακλείας Νικήτας, καὶ ἐξέδωκεν ὁ Ῥούθιος (Relig. Sacr. T. 2. p. 395—408) μετὰ σημειώσεων p. 425—431. Ὁ Ἱερώνυμος (ep. LII.) λέγει περὶ ἑρμηνείας τοῦ Διονυσίου εἰς τὴν Α. πρὸς Κορινθ. ἐπιστ. — Παρὰ τῷ Οἰκουμενίῳ καὶ ἄλλοις ἀναφέρονται ἐξηγήσεις εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν, εἰς τὰς καθολικὰς καὶ εἰς τὸν Εὐαγγελιστὴν Ματθαῖον. Routh. p. 409. 410. 434. 432.

(⁵) Ἐτυπώθη ἐν Μ. Bibil. Patr. Lugd. T. XI. παρὰ Μανσίῳ collect. can. T I. pag. 1038.

(*) Ὁ σοφώτατος Οἰκονόμος παραδέχεται γνησίαν τὴν ἐπιστολὴν ταύτην, καὶ λέγει ὅτι: «τὸ Θεοτόκος θεόχριστον ὄνομα ἔγραφε καὶ ἐξηγεῖ Ὠριγένης (ἐγεννήθη οὗτος τῷ 186, μ. Χ.), ὡς ἀνέκαθεν ἤδη σύνηθες ἐπ' αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ.

§ 66. *Ἀρχέλαος, Κασχάρων Ἐπίσκοπος.*

Ὁ μακάριος Ἀρχέλαος, ὁ Κασχάρων τῆς Μεσοποταμίας ἐπίσκοπος, οὐ μόνον ἐκέκτητο εὐρείας γνώσεις περὶ τῆς πίστεως καὶ τῆς φύσεως, ἀλλὰ καὶ νοῦν εἶχεν ὀξὺν καὶ ἀποστολικὸν πρὸς τὴν

«Ὠριγένης ἐν τῷ α, Τόμῳ τῶν εἰς τὴν πρὸς Ῥωμαίους τοῦ Ἀποστόλου ἐπιστολὴν ἑρμηνεύων, πῶς Θεοτόκος λέγεται, πλατέως ἐξήγησε» (Σωκρ. Ἐκκλ. ἱστορ. Ζ, 32). Σώζεται δὲ καὶ ἄλλη αὐτοῦ τοῦ Ὠριγένους ῥῆσις εἰς Δευτερ. κβ'. 23: «Τὴν ἤδη μεμνηστευμένην, γυναῖκα καλεῖ· οὕτω καὶ ἐπὶ τοῦ Ἰωσὴφ καὶ τῆς Θεοτόκου ἐλέχθη» (Ἐν Ὀκτατ. σελ. 1554. ἔκδ. θεοτ.). Καὶ ὁμιλ. α. εἰς Ματθ. α. «Ἡ μήτηρ αὐτοῦ· τίνος αὐτοῦ; *ἡ μήτηρ τοῦ Θεοῦ τοῦ μονογενοῦς*»· καὶ πάλιν, «Αὕτη ἡ Παρθένος Θεὸν ἐγέννησε, καὶ μήτηρ ἐγένετο, ἀλλὰ τὴν παρθενίαν οὐκ ἀπέβαλε»· καὶ «τούτου τοῦ μονογενοῦς Θεοῦ μήτηρ, αὕτη ἡ Παρθένος Μαρία», τὸ *Θεοτόκος* εἶπε καὶ Γρηγόριος ὁ θαυματουργός, πανηγυρίζων τὸν Εὐαγγελισμὸν τῆς *Θεοτόκου Παρθένου Μαρίας* (εἰς τὸν Εὐαγγελ. Λόγ. ά· καὶ β'. σελ. 14. 18. Paris. 1632). καὶ Διονύσιος ὁ μέγας (ἀνωτέρω)· καὶ ὁ ἱερὸς Μεθόδιος (λόγ. εἰς Συμεών, ὅπου καὶ *Θεογεννήτριαν* λέγει, καὶ *Μητέρα Θεοῦ*)· καὶ ὁ Μ. Ἀθανάσιος (ἐπιστ. π. τοὺς ἐν Αἰγύπτῳ μοναχούς, καὶ ἀλλαχοῦ πολλαχοῦ· καὶ *Κυριοτόκον* δὲ τὴν *Μητέρα τοῦ Κυρίου* ἀποκαλεῖ· ὑπόμν. εἰς Λουκ. ἐν Gallandii: Biblioth. Patr. T. V. p. 187). *Ἀλέξανδρος ὁ Ἀλεξανδρείας* (ἐπ. π. Ἀλεξ. Κωνσταντινουπ). Εὐσέβιος ὁ Παμφίλου (βίῳ Κωνσταντ. γ, 45)· ὁ Μ. Βασίλειος (λόγ. εἰς τὴν Χ. γέννησιν). ὁ Θεολόγος Γρηγόριος. «*Εἴ τις οὐ Θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει*, ΧΩΡΙΣ ΕΣΤΙ ΤΗΣ ΘΕΟΤΗΤΟΣ» (λόγ. νά. σελ. 738. πρβ. καὶ λόγ. λέ, σελ. 564)· ὁ Θεῖος Χρυσόστομος (τόμ. ς'. λόγ. εἰς τὸν Μελχισεδ. καὶ τ. ε. ὁμιλ. ριά. ὅπου καὶ Ἀειπάρθενον αὐτὴν ἀνευφημεῖ). Ὁ ἱερὸς Ἐπιφάνιος (πολλαχοῦ). Γρηγόριος ὁ Νύσσης (ἐπ. πρὸς Ἀμβροσίαν. 6λ. τόμ. γ. σελ. 660). Κύριλλος ὁ Ἱεροσολύμων (Κατηχ. 1). Καὶ ἐν τῷ Ἀλεξανδρινῷ κώδικι (τιθεμένῳ περὶ τὸ 380 μ. χ.) ἡ ᾠδὴ τῆς Θεοτόκου ἐπιγέγραπται «*Προσευχὴ Μαρίας τῆς Θεοτόκου*» (τομ. Δ'. ἔκδ. Grabe). Τὴν Θεοτόκον ἐκήρυξαν καὶ Ἀμφιλόχιος ὁ Ἰκονίου, καὶ ὁ ἱερὸς Ἀντίοχος, καὶ Ἄμμων ὁ Ἀδριανουπόλεως, καὶ Σεβηριανός, καὶ Θεόφιλος ὁ Ἀλεξανδρείας, καὶ Ἀττικὸς ὁ Κωνσταντινουπόλεως (παρὰ Κυρίλ. Ἀλεξανδρ. τ. ε. ἐπιστολ. πρὸς Ἀκάκιον τὸν Βερροίας). Πρόκλος ὁ Κων-

ἀλήθειαν ζῆλον (1)· ἦν ἀγαθὸς καὶ περὶ τοῦ ποιμνίου αὐτοῦ, εἴπερ τις καὶ ἄλλος, προὐνόει (2).

Πρῶτος ὁ Θεῖος οὗτος ἀνὴρ ἤλεγξε τὸν ἀσεβῆ μανιχαϊσμὸν λόγῳ τε καὶ γραφῇ. Σκυθιανός τις, τὸ γένος Σκύθης, ἐξέθηκε κατὰ τὸ τέλος τοῦ δευτέρου αἰῶνος ἐν τέσσαρσι βιβλίοις νέον φιλοσοφικὸν τῆς

σταντινουπόλεως (λόγ. εἰς τὴν ἐνανθρώπησιν κ.τ.λ.). Ὁ ἱερὸς Θεοδώρητος (τ. δ. σελ. 697 κ.τ.λ.). Ὁ ἱερὸς Αὐγοοστῖνος «Deipara virgo et casta perpetuo» (de tempor. ser 6. καὶ ἀλλαχοῦ)· ὁ μακάριος Ἱερώνυμος. «*Μήτηρ Θεοῦ*» (εἰς Ἡσαΐ. ή. 4. καὶ ἀλλαχοῦ). Οὕτω τὸ *Θεοτόκος* ὄνομα ἔτι κατὰ τὸν β'. αἰῶνα ἐξ ἀποστολικῆς παραδόσεως καὶ διδασκαλίας ἐδοξάζετο ἐν τῇ Ἐκκλησίᾳ, ὑπὸ τῶν χριστιανῶν ἁπάντων ὁμολογούμενον. Ὅθεν καὶ Ἰουλιανὸς ὁ ἀποστάτης ἐμέμφετο λέγων. «Θεοτόκον δὲ ὑμεῖς οὐ παύεσθε τὴν Μαρίαν καλοῦντες» (Κύριλλ. κατὰ Ἰουλιαν. Η. σελ. 262). Ὕστερον δὲ καὶ Νεστορίου φρυάξαντος, συνεκροτήθη ἡ ἐν Ἐφέσῳ οἰκουμενικὴ Γ'. Σύνοδος, 430 μ. χ. ἐν ᾗ καὶ συνοδικῶς ἐθεσπίσθη, κυρίως καὶ ἀληθῶς Θεοτόκον τὴν ἀειπάρθενον τοῦ Κυρίου μητέρα ἀνευφημεῖσθαι. Τότε διέλαμπε καὶ Κύριλλος ὁ Ἀλεξανδρ. ὁ τῆς Θεοτόκου μεγαλοφωνότατος κήρυξ, καὶ ἄλλοι τῶν ἱερῶν Πατέρων, οἵτινες, ὡς καὶ πάντες οἱ τούτων ἑξῆς, καὶ ἡ Δ' καὶ ἡ Ε' καὶ ἡ ΣΤ' καὶ ἡ Ζ' οἰκουμενικὴ τὸ ὄνομα τῆς Θεοτόκου γεραίρουσι. Τοῦτο δὲ ἄρα ἐλάνθανε τοὺς κινήσαντας ἀμφιβολίας περὶ τῆς γνησιότητος τῆς ἀνωτέρω πρὸς τὸν Σαμοσατέα ἐπιστολῆς τοῦ Διονυσίου διά τινας κουφολογίας, ἐν αἷς μίαν ἀριθμοῦσι καὶ ὅτι περιέχει τὸ δῆθεν πολλοὺς μετὰ τὸν Διονύσιον χρόνους ἐν τῇ Γ' συνόδῳ πρῶτον θεσπισθὲν ὄνομα *τῆς Θεοτόκου* ». Περὶ τῶν Ο, ἑρμηνευτῶν τῆς Π. Δ. βιβλ. Δ'. σελ. 491 — 93, ἴδ. καὶ σελ. 69 καὶ 692 αὐτόθ.). Σ. Μ.

(1) Ἐπιφ. αἱρ. 66, § 8. «Ὁ δὲ ἐπίσκοπος Ἀρχέλαος, ἔχων ἐν ἑαυτῷ μετὰ τὸν λόγον καὶ τὸ ζηλωτικὸν τῆς πίστεως, ἐβουλεύετο εἰ ἦν δυνατόν, ἐξ αὐτῆς τὸν ἄνδρα, ὥσπερ πάρδαλιν ἢ λύκον ἤ τι ἕτερον τῶν θηρίων ἀγρεύσας, θανάτῳ παραδοῦναι, ἵνα μὴ λυμανθῇ τὰ θρέμματα, τοιούτου θηρὸς ἐφ' ὁδὸν τὴν εἴσοδον κατανοῶν». § 10 « . . . ἑτοιμότατος ὑπάρχων διὰ τὴν πρὸς Θεὸν πολυποίκιλον γνῶσιν τοῦ ἀνδρός . . .» Φώτ. βιβλ. α, κατὰ Μανιχ. « ὁ δὲ τῶν Κασχάρων ἐπίσκοπος, Ἀρχέλαος αὐτῷ ὄνομα, ἀνὴρ ἱερός, καὶ περὶ λόγους τούς τε θείους καὶ τοὺς ἀνθρωπίνους περιδέξιος . . . ὀξὺς γὰρ ἦν καὶ θερμὸς τὸν εὐσεβῆ ζῆλον».

(2) Κύριλλ. ἱεροσ. Κατηχ. ς'. 30. σελ. 104. «Ὁ καλὸς ποιμὴν Ἀρχέλαος, τῶν προβάτων προνοῶν».

θρησκείας σύστημα, ἀλλ᾽ οὐκ ἐκτήσατο, ὥσπερ ἐπεθύμει, ὀπαδοὺς τῶν αὐτοῦ ἰδεῶν. Τὰ βιβλία αὐτοῦ περιῆλθον εἰς χεῖρας Κουβρίκου ἢ Κουβρικίου τινός, τὰ τῶν Περσῶν μαθήματα παιδευθέντος, ὃς οἰκειοποιησάμενος καὶ ἐπεξεργασάμενος τὰς ἰδέας τοῦ Σκυθιανοῦ ὑπὸ τὸ ὄνομα τοῦ Μάνεντος, ἤρξατο μετ᾽ ἐπιμονῆς διαδιδόναι ἐν Περσίᾳ τὴν νέαν αὐτοῦ σοφίαν. Οὐ δυνηθεὶς δὲ θεραπεῦσαι τὸν ἀσθενήσαντα βασιλόπαιδα, καθείρχθη ἐν τῷ δεσμωτηρίῳ ὡς ἀπατεών. Ἀποδρὰς δ᾽ ἐντεῦθεν, κατέφυγεν εἰς Μεσοποταμίαν, ἔνθα ἤρξατο κηρύττων τὴν ἀσέβειαν αὐτοῦ (¹). Ἔγραψεν ἐπιστολήν, ἐν ᾗ ἐξέθηκε τὰς δοξασίας αὐτοῦ, πρὸς Μάρκελλόν τινα, μεγάλου ἐν Μεσοποταμίᾳ ἀπολαύοντα σεβασμοῦ, νομίζων, ὅτι δι᾽ αὐτοῦ ποιήσεται γνωστὰ τὰ φρονήματα αὐτοῦ. Τοῦτο μαθὼν ὁ Μακάριος Ἀρχέλαος, παρεκάλεσε τὸν Μάρκελλον μεταπέμψασθαι τὸν Μάνεντα. Ἐν τούτοις ὁ Τύρβων, δι᾽ οὗ ἐπεδόθη ἡ ἐπιστολὴ τοῦ Μάνεντος, τυχὼν φιλικῆς ὑποδοχῆς, διηγήσατο ἐν λεπτομερείᾳ τόν τε βίον καὶ τὴν διδασκαλίαν τοῦ ψευδοδιδασκάλου τούτου. Ὅτε, κατὰ πρόσκλησιν τοῦ Μαρκέλλου, ὁ Μάνης μετέβη εἰς Κάσχαρα, ὡρίσθη ἵνα ἐνταῦθα διαλεχθῇ δημοσίᾳ πρὸς αὐτὸν ὁ Ἀρχέλαος. Κριταὶ τῆς διαλέξεως ᾑρέθησαν πεπαιδευμένοι ἐθνικοί. Ἐν ταύτῃ τοιαύτην ὑπέστη ἧτταν ὁ Μάνης, ὥστε αὐτίκα ἔφυγεν ἐκεῖθεν. Παραγενόμενος δὲ εἰς τὴν πολίχνην Διοδωρίδα, ἤρξατο πάλιν κηρύττειν τὴν διδασκαλίαν αὐτοῦ, καὶ εἵλκυσεν εἰς ἑαυτὸν ἱερέα τινά, καλούμενον Διόδωρον, ἄνδρα ἀγαθὸν μὲν τὰ ἄλλα, ἀλλ᾽ ἄπειρον τῆς διαλεκτικῆς δεινότητος. Ὁ Μάνης ὥρισε δημοσίαν συζήτησιν. Μαθὼν δὲ τοῦτο ὁ Ἀρχέλαος, καὶ ποιησάμενος τῷ Διοδώρῳ γνωστὰ τὰ κατὰ τὸν ἀπατεῶνα τοῦτον, παρεκάλεσεν, ἵνα μὴ δοθῇ πέρας τῇ διαλέξει πρὸ τῆς ἀφίξεως αὐτοῦ (²). Ὁ Μάνης ἤρξατο πρωΐθεν ἐπὶ τῆς ἐν τῷ

(¹) Acta disputat. Archel. c. Manete Haeresiarcha c. 51—53. Κυριλλ. ἱεροσ. Κατηχ. ς΄. κεφ. 22 καὶ ἑφεξ. — Ἐπιφ. αἱρ. ξς΄. Σωκρ. Ἐκκλ. ἱστορ. βιβλ. α, 22.

(²) Ὁ Ἐπιφάνιος καλεῖ τὸν ἱερέα *Τρύφωνα*, ἀλλ᾽ ἐν τοῖς πρακτικοῖς τῆς διαλέξεως καλεῖται Διόδωρος. Ἐπίσης σφάλλεται ὁ Ἐπιφάνιος λέγων, ὅτι δῆθεν ὁ Ἀρχέλαος ἀπέστειλε πρὸς τὸν ἱερέα τοῦτον δύο βιβλία, ἵνα προπαρασκευασθῇ ἐν τῇ πρὸς τὸν Μάνεντα διαλέξει. Κατὰ τὰ πρακτικὰ ὁ Ἀρχέλαος ἔγραψε μόνον ἐπιστολήν.

μέσῳ τῆς πολίχνης πλατείας τῆς πρὸς τὸν Διόδωρον διαλέξεως. Ἀποκριναμένου δὲ τοῦ Διοδώρου πρὸς ἔπος ὧν ᾔτησε, καὶ στρεβήσαντος τὸν ἀπατεῶνα, ἠρέμα πως, ἐν ᾧ ἑαυτῷ ἐνεδοίαζεν, ἀνακύπτει ὁ Ἀρχέλαος. «Ἔα με πρὸς Διόδωρον διαλέγεσθαι· ὑπερβαίνει γάρ με τὸ σὸν ἀξίωμα διὰ τὸν ἐπίσκοπον,» εἶπεν ὁ Μάνης μετὰ προσπεποιημένης φιλοφροσύνης. Εἰπὼν δὲ ὁ Ἀρχέλαος, ὅτι ἄτοπος ἡ φιλοφροσύνη αὕτη, ἤρξατο τῆς πρὸς αὐτὸν διαλέξεως καὶ κατενίκησεν αὐτόν. Ἀγανακτήσας ὁ λαὸς κατὰ τοῦ ἀλιτηρίου ἐπειρᾶτο διαχειρίσασθαι αὐτόν. Ὁ δέ, ἀποδρὰς ἐντεῦθεν, ἀφίκετο εἰς τὸ φρούριον Ἀραβίωνος (¹). Τοῦτο συνέβη τῷ σοζ΄. (²). Ὁ Ἱερώνυμος γράφει: Archelaus episcopus Mesopotamiæ librum disputationis suæ, quam habuit adversus Manichæum exeuntem de Perside, Syro sermone composuit; qui translatus in Græcum habetur a multis»: «Ἀρχέλαος ἐπίσκοπος Μεσοποταμίας τὸ βιβλίον τῆς διαλέξεως αὐτοῦ, ἣν ἔσχε πρὸς τὸν Μανιχαῖον φυγάδα ἐκ τῆς Περσίδος, συνέγραψε συριαστί, ὅπερ μεταφρασθὲν ἑλληνιστὶ ἐστὶ παρὰ πολλοῖς» (³). Ὁ Ἐπιφάνιος ὡσαύτως μαρτυρεῖ, ὅτι ὁ πλήρης ἐνθέου ζήλου ποιμὴν ἐξέθηκεν ἐγγράφως ἅπασαν τὴν πρὸς τὸν Μάνεντα ἀντιλογίαν αὐτοῦ (⁴). Ὁ μακάριος Ἀρχέλαος ἐξεδήμησε πρὸς Κύριον οὐ πρὸ τοῦ σπ΄. σωτηρίου ἔτους.

Ἡ γνησιότης καὶ ἡ σπουδαιότης τῆς Διαλέξεως τοῦ Κασχάρων ἐπισκόπου Ἀρχελάου πρὸς τὸν αἱρεσιάρχην Μάνεντά εἰσιν ἀναμφήριστοι (⁵). Ὁ ἅγιος Κύριλλος ὁ Ἱεροσολύμων (⁶), ὁ Ἱερώνυμος, ὁ Ἐπιφάνιος, ὁ Σωκράτης (⁷). καὶ ὁ Πατριάρχης Φώτιος [*] ἐχρῶντο

(¹) Acta disputat. Archelai cum Manete Haeresiarcha § 7 — 13. 40—50. Ἐπιφ. αἱρ. 66. § 7—11.

(²) Κατὰ τὰ πρακτικὰ (§ 27) ἡ διάλεξις ἐγένετο ἐπὶ τοῦ Αὐτοκράτορος Πρόβου. Κατὰ τὸν Εὐσέβιον (χρον. βιβλ. β΄. σελ. 177), καὶ Λέοντα τὸν Μέγαν (Serm. II. de Pentecoste) κατὰ τὸ δεύτερον ἔτος τοῦ Αὐτοκράτορος τούτου, δηλ. τῷ 277.

(³) De vir illustr. c. 72.

(⁴) Αἱρ. 66. § 25.

(⁵) Τὰ πρακτικὰ τῆς διαλέξεως ταύτης ἐξεδόθησαν ὑπὸ Γαλλανδίου ἐν. Bibl. Patr. T. III. καὶ ὑπὸ τοῦ Μιγνίου ἐν. X. tom. Patrol.

(⁶) Κατηχ. ς΄. 30.

(⁷) Ἐκκλ. ἱστορ. α, 22. «Ταῦτα δὲ ἡμεῖς οὐ πλάσαντες λέγομεν, ἀλλὰ διὰ λόγου Ἀρχελάου τοῦ ἐπι-

τῷ συγγράμματι τούτῳ, ὡς λίαν ὠφελίμῳ καὶ πλήρει ἀγάπης πρὸς τὴν ἀλήθειαν (1).

Ἡ ὑπόθεσις τῆς πρὸς τὸν Μάνεντα διαλέξεώς ἐστιν ἥδε· ὁ Μάνης ἄρχεται τῆς διαλέξεως ἀποφαινόμενος, ὅτι αὐτός ἐστιν ὁ ὑπὸ τοῦ Χριστοῦ ἐπαγγελθεὶς Μεσσίας, προωρισμένος ἐκκαθᾶραι τὸν χριστιανισμὸν τῶν ἰουδαϊκῶν πλασμάτων καὶ ἀγαγεῖν αὐτὸν εἰς τὴν ὑψίστην τελειότητα. Ἐπὶ δὲ τούτοις διαλεκτικῇ ἀκριβείᾳ ἐξέθηκε τὴν περὶ τῶν δύο ἀρχῶν, τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, διδασκαλίαν αὐτοῦ. Ὁ μακάριος Ἀρχέλαος, δεινῇ χρώμενος διαλεκτικῇ, ἐξελέγχει τὸ ψευδὲς τῆς διδασκαλίας τοῦ Μάνεντος περὶ τῶν δύο ἀρχῶν, δείκνυσι τὰς ἐν τῷ συστήματι αὐτοῦ ἀντιφάσεις τῶν δοξασιῶν πρὸς ἀλλήλας, τὸ ἀσύμφωνον αὐτῶν πρὸς τὴν πεῖραν καὶ τὴν ἱστορίαν, πρὸς τὴν ὀρθὴν ἔννοιαν περὶ Θεοῦ καὶ ἀνθρώπου, καὶ τέλος πρὸς τὸν λόγον τοῦ Θεοῦ. Ἐπὶ δὲ τούτοις ἐπιτρέπει ἑκάστῳ κρῖναι, εἴ ἐστιν ἐν τῷ Μάνεντι ὅμοιόν τι ἀπεσταλμένῳ παρὰ Θεοῦ, ἢ οὐκ ἔστι, κάλλιον εἰπεῖν, ἄνθρωπος ἔχων διεφθαρμένην ψυχήν; (2).

Ὁ Μάνης ἠρνεῖτο τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ. Ὁ μακάριος Ἀρχέλαος καθίστησι πρόδηλον, ὅτι ὁ Μάνης οὕτω δοξάζων καταστρέφει πᾶν ὅ,τι ἅγιον ὑπάρχει τῷ χριστιανῷ καὶ καθόλου τῷ ἀνθρώπῳ. «Εἰ γάρ, ὥσπερ σὺ λέγεις, λέγει τῷ Μάνεντι, οὐκ ἐγεννήθη ὁ Σωτήρ, ἀναμφιβόλως οὐκ ἔπαθε. Παθεῖν γὰρ τὸν μὴ γεννηθέντα ἀδύνατον. Εἰ δὲ οὐκ ἔπαθεν, ἀφαιρεῖται τὸ ὄνομα τοῦ σταυροῦ. Εἰ οὐκ ἐσταυρώθη, καὶ οὐκ ἀνέστη ἐκ τῶν νεκρῶν ὁ Ἰησοῦς. Εἰ δὲ οὐκ

σκόπου Κασχάρων, μιᾶς τῶν ἐν Μεσοποταμίᾳ πόλεων, ἐντυχόντες συνηγάγομεν· αὐτὸς γὰρ Ἀρχέλαος διαλεχθῆναι αὐτῷ φησὶ καὶ τὰ προγεγραμμένα εἰς τὸν βίον ἐκτίθεται».

[*] Κατὰ Μανιχ. λόγ. α, ap. Montfaucen. in Bibl. Coisl. p. 356. 358.

(1) Τὸ σύγγραμμα τοῦτο, λέγει ὁ σοφὸς I. A. Moehler, καθόλου ἐστὶ τὰ μάλιστα σπουδαῖον, καὶ παρέχει ὑπὸ ἱστορικὴν ἔποψιν πηγὴν πολυτίμων διδασκαλιῶν πρὸς κατάληψιν τῆς αἱρέσεως τῶν Μανιχαίων. Αἱ ἀστειολογίαι, τὸ ζωηρὸν τῆς λέξεως, πολλάκις πλουσίας εἰκόνων, ἡ δεινὴ διαλεκτικὴ καθιστᾶσι τὴν ἀνάγνωσιν αὐτοῦ λίαν τερπνήν, καὶ δύναται ταχθῆναι ἐν τοῖς ἀρίστοις βιβλίοις τοῦ εἴδους τούτου». Σ. Μ.

(2) Act dis putat. c. 14—39.

ἀνέστη ἐκ τῶν νεκρῶν, οὐδ' ἄλλος τις ἀναστήσεται. Εἰ δὲ οὐδεὶς ἀναστήσεται, οὐδὲ κρίσις ἔσται. Δῆλον γάρ, ὅτι εἰ οὐκ ἀναστήσομαι, οὐδὲ κριθήσομαι. Εἰ οὖν οὐκ ἔσται κρίσις, ματαία ἔσται ἡ τήρησις τῶν ἐντολῶν τοῦ Θεοῦ, ἄτοπος ἡ ἐγκράτεια. «Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν» (Α΄. Κορινθ. ιε΄ 32). Πάντα δὲ ταῦτα συνάπτεις ἀρνούμενος, ὅτι ἐγεννήθη ἐκ τῆς Μαρίας. Εἰ γὰρ ὁμολογήσεις αὐτὸν ἐκ τῆς Μαρίας γεννηθέντα, ἀναγκαίως ἕπεται τὸ πάθος, καὶ ἡ ἀνάστασις, καὶ ἡ κρίσις, καὶ βέβαιαι ἔσονται ἡμῖν αἱ ἐντολαὶ τῆς Γραφῆς. Οὐ μάταιον τοίνυν ἤδη τὸ ζήτημα (εἰ δηλονότι ὁ Χριστὸς ἀληθῶς ἐγεννήθη), ἀλλὰ πλεῖστα ἐν ταύτῃ τῇ λέξει περιέχονται. Ὥσπερ γὰρ ὅλος ὁ νόμος καὶ οἱ προφῆται ἐν δυσὶν ἐντολαῖς κρέμανται. οὕτω καὶ ὅλη ἡ ἐλπὶς ἡμῶν κρέμαται ἐν τῷ τόκῳ τῆς μακαρίας Μαρίας» (1).

Ἰδοὺ τίνι τρόπῳ κρίνει ὁ ἱεράρχης περὶ τοῦ αὐτεξουσίου τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων: «Πάνθ' ὅσα ἐποίησεν ὁ Θεός, λίαν καλῶς ἐποίησεν, ἑνὶ ἑκάστῳ ἔδωκεν ἔννοιαν τοῦ αὐτεξουσίου, ἐφ' ᾧ καὶ τὸν νόμον τῆς κρίσεως ἔθηκε. Τὸ ἁμαρτάνειν ἐστὶ τῶν ἐφ' ἡμῖν, τὸ δὲ μὴ ἁμαρτάνειν Θεοῦ δῶρόν ἐστιν· ἐφ' ἡμῖν κεῖται ἁμαρτάνειν ἢ μή... Καὶ ἀληθῶς οἱ βουλόμενοι τηροῦσι τὰς ἐντολάς, οἱ δὲ καταφρονοῦντες καὶ εἰς τὴν διαφθορὰν ἀποκλίνοντες, ἀναμφιβόλως κατακριθήσονται. Ἐκ τούτου καὶ τῶν ἀγγέλων τινές, μὴ ὑποταγέντες τῇ τοῦ Κυρίου ἐντολῇ, ἀντέστησαν τῷ θελήματι Αὐτοῦ, καί . . . . ἐγένοντο ἄξιοι τῆς ποινῆς τοῦ αἰωνίου πυρός . . . ἔχει γὰρ ἓν ἕκαστον τῶν δημιουργημάτων τὴν τάξιν αὐτοῦ, καὶ ἄλλη μέν ἐστιν ἡ τάξις τοῦ ἀνθρωπίνου γένους, καὶ ἄλλη ἡ τῶν κτηνῶν, καὶ ἄλλη ἡ τῶν ἀγγέλων· μία δὲ καὶ μόνη ἀμετάτρεπτός ἐστιν ἡ θεία οὐσία, αἰώνιος καὶ ἀόρατος» (2)

Ἐν τῷ ἐπιλόγῳ δεικνὺς ὁ μακάριος διδάσκαλος, ὅτι, ὡς ἰσχυρὸν ἔρεισμα τοῦ χριστιανισμοῦ χρησιμεύει ἡ θεία αὐτοῦ ἀρχή, λέγει περὶ τῆς σπουδαιότητος τῆς ἱεραρχίας: «Καλούμεθα χριστιανοὶ κατὰ τὴν θέλησιν τοῦ Σωτῆρος, ὥσπερ μαρτυρίαν παρέχεται ἡ οἰ-

(1) Act. Disputat. c. 49.
(2) Disput. c. 32.

κουμένη καὶ διδάσκουσιν οἱ Ἀπόστολοι· ἀλλὰ καὶ ὁ ἄριστος ἀρχιτέκτων Παῦλος τέθηκε τὸ θεμέλιον ἡμῶν, δηλονότι τῆς Ἐκκλησίας, καὶ νόμον ἔδωκε, καταστήσας (α) ἐν αὐτῇ διακόνους, καὶ πρεσβυτέρους, καὶ ἐπισκόπους, ὁρίσας οἵους δεῖ εἶναι τοὺς διακόνους, τοὺς πρεσβυτέρους καὶ τοὺς ἐπισκοπῆς ὀρεγομένους. Ταῦτα δὲ πάντα καλῶς καὶ ὀρθῶς διαταχθέντα τηροῦσι μέχρι τοῦ νῦν τὴν θέσιν αὐτῶν καὶ διαμένει παρ' ἡμῖν ἡ τάξις ἐν τούτῳ ἀμετάβλητος» (1) (β).

§ 67 *Ὁ ἅγιος Θεωνᾶς, ἐπίσκοπος Ἀλεξανδρείας.*

Μετὰ Μάξιμον, τὸν διάδοχον τοῦ ἁγίου Διονυσίου, ἀπὸ τοῦ 282 ἐποίμανε τὴν Ἐκκλησίαν τῆς Ἀλεξανδρείας, ὁ ἅγιος Θεωνᾶς. Ὁ ἱερὸς οὗτος ἀνὴρ ὑπεστήριζε τῇ ἑαυτοῦ προστασίᾳ τὸ διδασκαλεῖον τῆς Ἀλεξανδρείας, οὗ ἐπ' αὐτοῦ προΐσταντο οἱ πρεσβύτεροι Ἀχιλλᾶς καὶ Πιέριος. Ποιμάνας δὲ ἐπὶ ἐννεακαίδεκα ἔτη τὸ ἑαυτοῦ ποίμνιον (2), ἐξεδήμησεν ἐν εἰρήνῃ πρὸς Κύριον τῷ τριακοσιοστῷ σωτηρίῳ ἔτει (3).

Μέχρις ἡμῶν ἀφίκετο ἡ τοῦ ἐπισκόπου Θεωνᾶ πολύτιμος ἐπιστολὴ πρὸς Λουκιανὸν Πραιπόσιτον (ad Lucianum cubiculariorum Praepositum), γραφεῖσα, ὡς δυνάμεθα κρῖναι ἐκ τοῦ ἐν αὐτῇ περιεχομέ-

(α) Ὁ μακάριος Ἀρχέλαος μνημονεύει ἐνταῦθα μόνον τῶν ἐπισκόπων, τῶν πρεσβυτέρων, καὶ τῶν διακόνων ministrorum). Τῷ ὀνόματι τῶν διακόνων χρῶνται οἱ ἀρχαιότατοι Πατέρες ἐπὶ πασῶν τῶν κατωτέρων τῶν πρεσβυτέρων τάξεων. Οὕτω Κλήμης ὁ Ἀλεξ. βιβλ. ς'. Στρωμ. σελ. 667, ὁ Τερτυλλιανός, de paptismo, Cap. 17, ὁ Ὠριγένης, ὁμιλ. Β'. εἰς Ἱερεμ. καὶ εἰς Ματθ. κεφ. 19. σελ. 363, καὶ ἄλλοι. Σ. Μ.

(1) Dispatut. c. 51.

(β) Τὴν διάλεξιν ταύτην συνέγραψεν ὁ θεῖος Πατὴρ συριστί, ἐξελλήνισε δὲ Ἡγεμόνιός τις. Ἐκ τοῦ Ἑλληνικοῦ ἐγένετο ἡ σωζομένη παλαιὰ λατινικὴ μετάφρασις, ἐπιγραφομένη: Acta disputationis S. Archelai cum Manete Haeresiarcha. Ἐκ τῆς ἑλληνικῆς μεταφράσεως διεσώθησαν ἓξ μόνον κεφάλαια. Ταύτης μέρος ἔχει καὶ Κύριλλος ὁ Ἱεροσολ. Κατηχ. ς'. § 27—29. Σ. Μ.

(2) Εὐσέβ. Ἐκκλ. ἱστορ. ζ'. 32.

(3) Ἡ μνήμη τοῦ ἁγίου Θεωνᾶ ἐν μὲν τῇ κοπτικῇ Ἐκκλησίᾳ τῇ κή. Δεκεμβρίου, ἐν δὲ τῇ ῥωμαϊκῇ τῇ κή. τοῦ Αὐγούστου.

νου, κατὰ τὰ πρῶτα ἔτη τῆς βασιλείας τοῦ Διοκλητιανοῦ, ὅτε ἡ αὐλὴ τοῦ Αὐτοκράτορος ἦν πλήρης χριστιανῶν (¹). Ἡ ἐπιστολὴ αὕτη ἐστὶ πλήρης εὐσεβείας, ἁπλότητος, καὶ διδασκαλιῶν περὶ τοῦ πῶς δεῖ ζῆν ἀξίως τοῦ χριστιανικοῦ ὀνόματος.

»Εὐχαριστῶ τῷ παντοδυνάμῳ Θεῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, γράφει ὁ ἅγιος Θεωνᾶς, ὃς οὐκ ἐπαύσατο φανερῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὴν ἑαυτοῦ πίστιν, τὸ μόνον τῆς σωτηρίας ἡμῶν μέσον, καὶ ἐν αὐτοῖς τοῖς διωγμοῖς τῶν τυράννων ἐπαυξάνων· μάλιστά γε ἐν ταῖς θυέλλαις τῶν διωγμῶν ἐξέλαμψεν, ὡς χρυσὸς ἐν χωνευτηρίῳ καθαρθείς, καὶ ἡ ἀλήθεια αὐτῆς καὶ ἡ ἐξοχότης ἀεὶ μᾶλλον ἔλαμψεν, ἵνα τῇ ὑπὸ τοῦ ἀγαθοῦ Αὐτοκράτορος δωρηθείσῃ εἰρήνῃ λάμψωσι τὰ ἔργα τῶν χριστιανῶν καὶ ἔμπροσθεν τῶν ἀπίστων, καὶ δοξασθῇ ἐκ τούτου ὁ Θεός, ὁ οὐράνιος Πατήρ. Τοῦτο δέ, ἅτε δὴ τὰ μάλιστα ἀναγκαῖον ὂν πρὸς τὴν ἡμετέραν σωτηρίαν, ζητητέον καὶ ποθητέον ἡμῖν, εἰ βουλόμεθα εἶναι χριστιανοὶ ἔργῳ μᾶλλον, ἢ λόγοις. Ζητοῦντες γὰρ τὴν ἡμετέραν δόξαν, ματαίου καὶ εὐπτώτου πράγματος, καὶ εἰς τὸν θάνατον ἄγοντος ἡμᾶς ἐφιέμεθα· ἡ δὲ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, τοῦ διὰ τὴν ἡμετέραν σωτηρίαν τῷ σταυρῷ προσηλωθέντος,

(¹) Εὐσέβ. Ἐκκλ. ἱστορ. βιβλ. η'. κεφ. 1. «Ὅσης μὲν καὶ ὁποίας πρὸ τοῦ καθ' ἡμᾶς διωγμοῦ δόξης ὁμοῦ καὶ παρρησίας ὁ διὰ Χριστοῦ τῷ βίῳ κατηγγελμένος τῆς εἰς τὸν τῶν ὅλων Θεὸν εὐσεβείας λόγος παρὰ πᾶσιν ἀνθρώποις Ἕλλησί τε καὶ βαρβάροις, ἠξίωτο, μεῖζον ἢ καθ' ἡμᾶς ἐπαξίως διηγήσασθαι. Τεκμήρια δ' ἂν γένοιτο τῶν κρατούντων αἱ περὶ τοὺς ἡμετέρους δεξιώσεις· οἷς καὶ τὰς τῶν ἐθνῶν ἐνεχείριζον ἡγεμονίας, τῆς περὶ τὸ θύειν ἀγωνίας, κατὰ πολλὴν ἣν ἀπέσωζον περὶ τὸ δόγμα φιλίαν, αὐτοὺς ἀπαλλάττοντες. Τί δεῖ περὶ τῶν κατὰ τοὺς βασιλικοὺς λέγειν οἴκων καὶ τῶν ἐπὶ πᾶσιν ἀρχόντων; οἳ τοῖς οἰκείοις εἰς πρόσωπον ἐπὶ τῷ θείῳ παρρησιαζομένοις λόγῳ τε καὶ βίῳ, συνεχώρουν γαμεταῖς καὶ παισὶ καὶ οἰκέταις, μονονουχὶ καὶ ἐγκαυχᾶσθαι ἐπὶ τῇ παρρησίᾳ τῆς πίστεως ἐπιτρέποντες· οὓς ἐξόχως καὶ μᾶλλον τῶν συνθεραπόντων ἀποδεκτοὺς ἡγοῦντο». Lactant. de mort. persecut., c. 15. «Furebat erga imperator (Diocletianus) jam non in domesticos tantum, sed in omnes.— Potentissimi quondam Eunuchi necati, per quos palatium et ipse constabat.»

σώζει ἡμᾶς διὰ τὴν αἰώνιον ζωήν, ἥ ἐστιν ὁ μέγιστος πόθος τῶν χριστιανῶν.

Οὐκ ἄρα, Λουκιανέ μου, ἡγοῦμαι ἢ βούλομαι καυχᾶσθαί σε, ὅτι πολλοὶ τῶν ἐν τῇ αὐλῇ τοῦ Αὐτοκράτορος ἐπέγνωσαν διὰ σοῦ τὴν ἀλήθειαν, ἀλλὰ μᾶλλον δεῖ εὐχαριστεῖν τῷ Θεῷ ἡμῶν, τῷ καταστήσαντί σε ἀγαθὸν ὄργανον ἐν ἀγαθῷ ἔργῳ καὶ ὑψώσαντί σε παρὰ τῷ Αὐτοκράτορι, ἵνα διαχέῃς τὴν εὐωδίαν τοῦ χριστιανικοῦ ὀνόματος εἰς δόξαν Αὐτοῦ καὶ σωτηρίαν πολλῶν. Ὅσῳ γὰρ μᾶλλον αὐτὸς ὁ Αὐτοκράτωρ, οὔπω χριστιανὸς ὤν, αὐτοῖς τοῖς χριστιανοῖς, ὡς πιστοτέροις, τὴν ζωὴν αὐτοῦ καὶ τὸ σῶμα πρὸς φυλακὴν ἐνεπίστευσε, τοσούτῳ μᾶλλον ὀφείλετε μετὰ προθυμίας ἐπιμελεῖσθαι τῆς ἀσφαλείας αὐτοῦ καὶ σπουδάζειν, ἵνα ἐκ τούτου δοξάζηται τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ἡ πίστις Αὐτοῦ δι' ὑμῶν, τῶν θεραπευόντων τὸν Αὐτοκράτορα, διαδιδῶται ὁσημέραι . . . . Μηδέποτε ἀργυρίου χάριν πωλεῖτε τὴν παρὰ τὸν Αὐτοκράτορα εἴσοδον, μηδὲν ἄτιμον ἐνώπιον αὐτοῦ ποιεῖτε, αἰτήσεσιν ἢ ἀμοιβῇ πειθόμενοι . . . . Πάντα ποιεῖτε πρᾴως, φιλοφρόνως καὶ δικαίως, ἵνα ἐν πᾶσι δοξάζηται τὸ ὄνομα τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

» Τὰ καθήκοντα ὑμῶν, εἰς ἃ κατεστάθητε, ἐπιτελεῖτε μετὰ φόβου Θεοῦ καὶ πάσης ἀγάπης πρὸς τὸν Αὐτοκράτορα. Τὴν διαταγὴν αὐτοῦ μὴ προσκρούουσαν τῷ Θεῷ, νομίζετε ἐξ αὐτοῦ τοῦ Θεοῦ προέρχεσθαι, καὶ ἐκτελεῖτε μετ' ἀγάπης, σεβασμοῦ καὶ προθυμίας . . . . »

Διδοὺς δὲ διδασκαλίας τινὰς συμφώνους τῇ κλήσει ἑκάστου, γράφει περὶ τοῦ Ἐπιστάτου τῆς βιβλιοθήκης: «Εἰ οὗτός ἐστιν ἐκ τῶν εἰς Χριστὸν πιστευόντων, οὐκ ὀφείλει καταφρονεῖν τῶν κοσμικῶν βιβλίων καὶ συγγραμμάτων τῶν ἐθνικῶν, τῶν ἀρεσκόντων τῷ Αὐτοκράτορι. Ἐπαινετέον τὴν μεγαλοφυΐαν τῶν ποιητῶν, τὴν ὀξύτητα τῆς εὑρέσεως, τὴν δύναμιν καὶ τὴν καλλονὴν τῶν ἐκφράσεων. Ἐγκωμιαστέον τοὺς ῥήτορας, τοὺς φιλοσόφους ἐν τῷ εἴδει αὐτῶν. Ἐπαινετέον τοὺς ἱστορικούς, οἳ τὴν σειρὰν τῶν πεπραγμένων, τὰ ἤθη τῶν προγόνων καὶ τὰ ἔθιμα ἐκτιθεῖσιν ἡμῖν, οἳ τὸν κανόνα τοῦ ζῆν ἐκ τῶν πράξεων τῶν ἀρχαίων δεικνῦσι. Πειράσθω ἔσθ' ὅτ' ἐπαινεῖν καὶ τὰς θείας Γραφάς, ἃς μετὰ θαυμαστῆς φιλοπονίας καὶ δαψιλεστάτης δαπάνης Πτολεμαῖος ὁ Φιλάδελφος ἐφρόντισε μεθερ-

μηνευθῆναι εἰς τὴν ἡμετέραν γλῶσσαν. Ἐπαινείτω ἐνίοτε τὸ Εὐαγγέλιον καὶ τὸν Ἀπόστολον ὡς θεόπνευστα συγγράμματα. Εἰ γενήσεται λόγος περὶ Χριστοῦ, ἐκτιθέτω κατὰ μικρὸν τὴν Θεότητα Αὐτοῦ. Ἅπαντα ταῦτα δύνανται γενέσθαι τῇ βοηθείᾳ τοῦ Χριστοῦ.»

Καταφεύγων εἰς γενικοὺς κανόνας, λέγει πρὸς τοῖς ἄλλοις: «Μὴ παρερχέσθω ἡμέρα ἄνευ τοῦ ἀναγινώσκειν τι τῆς ἁγίας Γραφῆς ἐπὶ σχολῆς . . . Οὐδὲν οὕτω τρέφει τὴν ψυχὴν καὶ τὸν νοῦν, ὡς αἱ ἱεραὶ ἀναγνώσεις, ἐξ αὐτῶν δὲ κατ᾽ ἐξοχὴν λήψεσθε τὴν ὠφέλειαν, ὅτι ἔσεσθε ἐπιτελοῦντες τὰ καθήκοντα ὑμῶν ἐν ὑπομονῇ, δικαιοσύνῃ καὶ εὐσεβείᾳ, δηλ. ἐν ἀγάπῃ Χριστοῦ, καὶ ἔσεσθε καταφρονοῦντες πάντων τῶν προσκαίρων διὰ τὰς αἰωνίους Αὐτοῦ ἐπαγγελίας, τὰς πάντα νοῦν ὑπερεχούσας καὶ εἰς τὴν αἰώνιον μακαριότητα ἀγούσας ἡμᾶς.»

»Ἔρρωσο ἐν Χριστῷ, κύριέ μου Λουκιανέ.«

Ὡραῖαι εἰκόνες τοῦ χριστιανικοῦ βίου ἐν τῷ μέσῳ τοῦ ἐθνισμοῦ! Ἐν τῇ ἐπιστολῇ ταύτῃ εὑρίσκονται οὐκ ὀλίγα ἀναγκαῖα πρὸς τὴν περὶ πίστεως διδασκαλίαν. Τὸ ὄνομα τοῦ Χριστοῦ Ἰησοῦ ἑκάστοτε ἀναφέρεται οὐκ ἄλλως ἢ ὡς ὄνομα τοῦ Κυρίου ἡμῶν· ἡ ἀξία Αὐτοῦ ἐστιν ἀξία Θεότητος· ἔπαθε διὰ τὴν ἡμῶν σωτηρίαν. Πολύτιμοί εἰσι καὶ οἱ περὶ τῆς ἁγίας Γραφῆς λόγοι αὐτοῦ.

§ 68. *Ὁ ἅγιος Φιλέας, ἐπίσκοπος Θμουΐτῶν.*

Ὁ τὸ γένος περιφανής, πλούσιος καὶ ταῖς κοσμικαῖς τιμαῖς διαπρέψας Φιλέας πάντα δεύτερα ἔθετο τῆς ἀληθοῦς εὐσεβείας, καὶ κατεστάθη ἐπίσκοπος τῆς Θμουΐτῶν Ἐκκλησίας ([1]).

Διὰ τῶν μέσων, ἃ παρεῖχεν αὐτῷ τό τε γένος καὶ ὁ πλοῦτος, ὁ Φιλέας ἐξεπαιδεύθη μὲν ἄριστα τὰς κοσμικὰς ἐπιστήμας, ἀλλὰ περὶ πλείστου ἐποιεῖτο τὴν χριστιανικὴν σοφίαν ([2]). Ἐπὶ τοῦ Αὐτοκράτορος Μαξιμίνου προσεκάλεσεν αὐτὸν εἰς Ἀλεξάνδρειαν ὁ ἔπαρχος Θηβαΐδος Κουλκιανός, ἵνα προτρέψῃ αὐτὸν ἀρνήσασθαι

([1]) Εὐσέβ. Ἐκκλ. ἱστορ. ή. 9, 10. Hieron. de vir. illustr. c. 78.

([2]) Εὐσέβ. αὐτόθ.

τὴν εἰς Χριστὸν πίστιν. Τὰ μέχρις ἡμῶν ἀφικόμενα ἀνθυπατικὰ πρακτικὰ τοῦ πρὸς τὸν ἔπαρχον διαλόγου τοῦ Φιλέου εἰσὶ πάνυ διδακτικά [1]. « Ἀναβιβασθέντι ἐπὶ τοῦ ἄμβωνος, εἶπεν αὐτῷ ὁ ἔπαρχος Κουλκιανός: θέλεις εἶναι ὑγιής; Ἀειποτέ εἰμι ὑγιὴς καὶ νήφω. Ὁ Κουλκιανὸς εἶπε: Θῦσον τοῖς Θεοῖς· ὁ Φιλέας ἀπεκρίνατο: οὐ θύω. — Τίνος ἕνεκα; Διότι ἡ ἁγία Γραφὴ λέγει: ὁ θυσιάζων Θεοῖς θανάτῳ ἐξολοθρευθήσεται, πλὴν Κυρίῳ μόνῳ (ἔξοδ· κβ΄. 20.). Ὁ ἔπαρχος ἠρώτησε: ποῖαι θυσίαι εἰσὶν εὐάρεστοι τῷ σῷ Θεῷ; ὁ Φιλέας ἀπεκρίνατο: τῇ καθαρᾷ καρδίᾳ, τοῖς εἰλικρινέσιν αἰσθήμασι, τοῖς λόγοις τῆς ἀληθείας εὐαρεστεῖται ὁ Θεός· ὁ Κουλκιανὸς εἶπεν: οὐκ᾽ ἦν ὁ Παῦλος ἰδιώτης; οὐκ᾽ ἦν Σύρος; ὁ Φιλέας ἀπεκρίνατο: οὔ, ἦν Ἑβραῖος, διελέγετο ἑλληνιστί, καὶ ἦν σοφώτατος. Ὁ Κουλκιανὸς εἶπεν: ἴσως ἂν εἴποις, ὅτι ἦν ὑπέρτερος τοῦ Πλάτωνος; Ὁ Φιλέας ἀπεκρίνατο: οὐ μόνον τοῦ Πλάτωνος, ἀλλὰ καὶ πάντων ὁμοῦ τῶν φιλοσόφων ἦν εὐφυέστερος, διότι καὶ τοὺς φιλοσόφους ἐδίδαξε. Φείδου τῆς γλώσσης σου, εἶπεν ὁ ἔπαρχος, καὶ προσένεγκε θυσίαν. Ὁ Φιλέας ἀπεκρίνατο: οὐ θύω, τῆς ψυχῆς μου φειδόμενος. Οὐ μόνον οἱ χριστιανοὶ φείδονται τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ καὶ οἱ ἐθνικοί· μέμνησο τοῦ Σωκράτους, ὡς ἀπαγόμενος εἰς θάνατον, παρισταμένης αὐτῷ τῆς γυναικὸς σὺν τοῖς τέκνοις αὐτοῦ, οὐκ ὤκνησεν, ἀλλὰ προθύμως ἐδέξατο τὸν θάνατον. Ὁ Κουλκιανὸς εἶπε: Θεὸς ἦν ὁ Χριστός; Ναί, εἶπεν ὁ Φιλέας. Πῶς; πιστεύεις ὅτι ἦν Θεός;

(1) Ἐπιθι τὰ πρακτικὰ τοῦ μαρτυρίου τοῦ ἁγίου Φιλέου παρὰ Ρουϊναρτίῳ (Act. Matyr. sine. p. 434). Ταῦτα ἐγίνωσκε ὁ Ἱερώνυμος: disputatione Actorum habita adversus judicem, qni cum sacrificare cogebat, pro Christo capite truncatur» (de vir. illustr. c. 78). Ὁ Εὐσέβιος (ἐκκλ. ἱστορ. ή. 10.) ποιεῖται λόγον περὶ τοῦ μαρτυρικοῦ θανάτου τοῦ ἁγίου Φιλέου, ἀλλ᾽ οὐ συνῳδὰ τῷ Ἱερωνύμῳ· διὸ ὁ Ἱερώνυμος ἀκολουθεῖ οὐ τῷ Εὐσεβίῳ, ἀλλὰ τοῖς πρακτικοῖς, ὡς δηλοῦται ἐκ τῶν λόγων αὐτοῦ. Ἄλλα ἑλληνικὰ πρακτικὰ τοῦ μαρτυρίου, οὐ τοσοῦτον ἀρχαῖα ἐξεδόθησαν ὑπὸ τοῦ Κομβεφισίου (triumph matyr. Paris. 1660). Ἐκ τῶν χειρογράφων γνωστὴ ἡ διήγησις τοῦ Μεταφραστοῦ περὶ τοῦ μαρτυρίου τῶν ἁγίων Φιλέου καὶ Φιλορώμου. (Ruth. Reliquia S. 3. 387. 388). Ἀναμφίβολον τοίνυν, ὅτι ἐν τῇ ὀρθοδόξῳ ἑλληνικῇ Ἐκκλησίᾳ ἑωρτάζετο ἡ μνήμη τοῦ ἁγίου Φιλέου. Κατὰ τὸ ρωμαϊκὸν ἡμερολόγιον οἱ ἅγιοι Φιλέας καὶ Φιλόρωμος ἄγονται διὰ μνήμης τῇ τετάρτῃ Φεβρουαρίου.

ὁ Φιλέας ἀπεκρίνατο: τυφλοὺς ἐποίησε βλέπειν, κωφοὺς ἀκούειν, λεπροὺς ἐκάθηρε, νεκροὺς ἀνέστησεν, ἀλάλοις ἔδωκε γλῶσσαν, καὶ πολλὰς ἀσθενείας ἐθεράπευσεν, ἀνέστη ἐκ νεκρῶν, καὶ ἄλλα πολλὰ σημεῖα καὶ τέρατα ἐποίησεν. Ὁ Κουλκιανὸς εἶπε: Θεός ἐστιν ὁ ἐσταυρωμένος; Ὁ Φιλέας ἀπεκρίνατο: Διὰ τὴν ἡμῶν σωτηρίαν ἐσταυρώθη. Εἰ καὶ προεγίγνωσκεν, ὅτι ἔμελλε σταυρωθῆναι καὶ ὑβρισθῆναι, ὅμως παρέδωκεν ἑαυτὸν πᾶσι τοῖς παθήμασιν ὑπὲρ ἡμῶν. Ταῦτα πάντα προειρήκασιν αἱ θεῖαι Γραφαί, ἃς ἔχουσι μὲν οἱ Ἰουδαῖοι, ἀλλ' οὐκ ἐκπληροῦσιν. Ἐλθέτω, ἐλθέτω οὖν ὁ βουλόμενος καὶ ἰδέτω, εἰ ἔχουσιν οὕτως. Ὁ Κουλκιανὸς εἶπεν: εἰ ἐγίνωσκον, ὅτι εἶ ἐνδεής, καὶ ἐγένου οὕτως ἄφρων, οὐκ ἂν ἐφειδόμην σου. Ἀλλ' ἐπειδὴ εἶ τοσοῦτον πλούσιος, ὥστε οὐ μόνον σεαυτόν, ἀλλὰ σχεδὸν ὅλην ἐπαρχίαν δύνασαι τρέφειν, φείδομαί σου καὶ συμβουλεύω σοι θῦσαι. Ὁ Φιλέας ἀπεκρίνατο: Οὐ θύω, ἐμαυτοῦ φειδόμενος. — Ἡ ἀθλία σύζυγός σου ὁρᾷ σε. — Ὁ Φιλέας εἶπεν: ὁ καλέσας με εἰς κληρονομίαν τῆς ἑαυτοῦ δόξης δύναται καὶ αὐτὴν καλέσαι. — Οἱ σύνδικοι, οἱ ἄρχοντες, ὁ ἔπαρχος, πάντες οἱ συγγενεῖς ἐδέοντο αὐτοῦ ἐλεῆσαι τὴν σύζυγον καὶ τὰ τέκνα αὐτοῦ, ἀλλ' εἰς μάτην. Αὐτός τε καὶ ὁ φίλος αὐτοῦ Φιλόρωμος ἀπετμήθησαν τὰς κεφαλὰς τῷ τριακοσιοστῷ ἑβδόμῳ σωτηρίῳ ἔτει.»

Ἐκ τοῦ δεσμωτηρίου ἔγραψεν ὁ πιστὸς τοῦ Χριστοῦ ποιμὴν προτροπὴν πρὸς τὸ μαρτύριον. Μέγα μέρος τῆς ἐπιστολῆς ταύτης διέσωσεν ὁ Εὐσέβιος. Ἐκτὸς τοῦ περὶ τοῦ μαρτυρίου κυρίου σκοποῦ ὁρῶμεν ἐν αὐτῇ σαφῆ τὴν περὶ τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ διδασκαλίαν καὶ τὴν περὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ διὰ τὴν ἡμετέραν σωτηρίαν. Ἐνταῦθά ἐστι καὶ ἐναργὴς εἰκὼν τῶν παθημάτων, ἃ ὑφίσταντο οἱ χριστιανοὶ τῆς Ἀλεξανδρείας ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ.

»Τούτων ἁπάντων ὑποδειγμάτων ἡμῖν καὶ ὑπογραμμῶν καὶ καλῶν γνωρισμάτων ἐν ταῖς θείαις καὶ ἱεραῖς Γραφαῖς κειμένων, οὐδὲν μελλήσαντες οἱ μακάριοι σὺν ἡμῖν μάρτυρες, τὸ τῆς ψυχῆς ὄμμα πρὸς τὸν ἐπὶ πάντων Θεὸν καθαρῶς τείναντες καὶ τὸν ἐπ' εὐσεβείᾳ θάνατον ἐν νῷ λαβόντες, ἀπρὶξ τῆς κλήσεως εἴχοντο, τὸν μὲν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εὑρόντες ἐνανθρωπήσαντα δι' ἡμᾶς, ἵνα πᾶ-

σαν μὲν ἁμαρτίαν ἐκκόψῃ, ἐφόδια δὲ τῆς εἰς τὴν αἰώνιον ζωὴν εἰσόδου ἡμῖν κατάθηται· οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἑαυτὸν ἐταπείνωσεν ἕως θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ζηλώσαντες τὰ μείζονα χαρίσματα οἱ Χριστοφόροι μάρτυρες πάντα μὲν πόνον καὶ παντοίας ἐπινοίας αἰκισμῶν οὐκ εἰςάπαξ, ἀλλ' ἤδη καὶ δεύτερόν τινες ὑπέμειναν, πάσας δὲ ἀπειλὰς οὐ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις τῶν δορυφόρων κατ' αὐτῶν φιλοτιμουμένων, οὐκ ἐνεδίδουν τὴν γνώμην, διὰ τὸ τὴν τελείαν ἀγάπην ἔξω βάλλειν τὸν φόβον. Ὧν καταλέγειν τὴν ἀρετὴν καὶ τὴν ἐφ' ἑκάστῃ βασάνῳ ἀνδρείαν τίς ἂν ἀρκέσειε λόγος; Ἀνέσεως γὰρ οὔσης ἅπασι τοῖς βουλομένοις ἐνυβρίζειν, οἱ μὲν ξύλοις ἔπαιον, ἕτεροι δὲ ράβδοις, ἄλλοι δὲ μάστιξιν, ἕτεροι δὲ πάλιν ἱμᾶσιν, ἄλλοι δὲ σχοινίοις. Καὶ ἦν ἡ θέα τῶν αἰκισμῶν ἐνηλλαγμένη καὶ πολλὴν τὴν ἐν ἑαυτῇ κακίαν ἔχουσα. Οἱ μὲν γὰρ ὀπίσω τὼ χεῖρε δεθέντες περὶ τὸ ξύλον ἐξηρτῶντο, καὶ μαγγάνοις τισὶ διετείνοντο πᾶν μέλος, εἶθ' οὕτω διὰ παντὸς τοῦ σώματος ἐπῆγον ἐκ κελεύσεως οἱ βασανισταί, οὐ καθάπερ τοῖς φονεῦσιν ἐπὶ τῶν πλευρῶν μόνον, ἀλλὰ καὶ τῆς γαστρὸς καὶ κνημῶν καὶ παρειῶν τοῖς ἀμυντηρίοις ἐκόλαζον· ἕτεροι δὲ ἀπὸ τῆς στοᾶς μιᾶς χειρὸς ἐξηρτημένοι αἰωροῦντο, πάσης ἀλγηδόνος δεινοτέραν τὴν ἀπὸ τῶν ἄρθρων καὶ μελῶν τάσιν ἔχοντες· ἄλλοι δὲ πρὸς τοῖς κίοσιν ἀντιπρόσωποι ἐδοῦντο, οὐ βεβηκόσι τοῖς ποσί, τῷ δὲ βάρει τοῦ σώματος βιαζομένων μετὰ τάσεως ἀνελκομένων τῶν δεσμῶν. Καὶ τοῦθ' ὑπέμενον, οὐκ ἐφ' ὅσον προσδιελέγετο οὐδ' αὐτοῖς ἐσχόλαζεν ὁ ἡγεμών, ἀλλὰ μονονουχὶ δι' ὅλης τῆς ἡμέρας. Ὅτε γὰρ καὶ ἐφ' ἑτέρους μετέβαινε, τοῖς προτέροις κατελίμπανεν ἐφεδρεύειν τοὺς τῇ ἐξουσίᾳ αὐτοῦ ὑπηρετουμένους, εἴπου τις ἡττηθεὶς τῶν βασάνων ἐνδιδόναι ἐδόκει, ἀφειδῶς δὲ κελεύων καὶ τοῖς δεσμοῖς προσιέναι, καὶ μετὰ ταῦτα ψυχορραγοῦντας αὐτοὺς κατατιθεμένους εἰς τὴν γῆν ἕλκεσθαι· οὐ γὰρ εἶναι κἂν μέρος φροντίδος αὐτοῖς περὶ ἡμῶν, ἀλλ' οὕτω καὶ διανοεῖσθαι καὶ πράττειν, ὡς μηκέτ' ὄντων, ταύτην δευτέραν βάσανον ἐπὶ ταῖς πληγαῖς τῶν ὑπεναντίων ἐφευρόντων. Ἦσαν δὲ οἱ καὶ μετὰ τοὺς αἰκισμοὺς ἐπὶ τοῦ ξύλου κείμενοι διὰ τῶν ὀπῶν διατεταμένοι ἄμφω τὼ πόδε, ὡς καὶ κατ' ανάγ-

κην αὐτοὺς ἐπὶ τοῦ ξύλου ὑπτίους εἶναι, μὴ δυναμένους διὰ τὸ ἔναυλα τὰ τραύματα ἀπὸ τῶν πληγῶν καθ᾽ ὅλου τοῦ σώματος ἔχειν· ἕτεροι δὲ εἰς τοὔδαφος ριφθέντες ἔκειντο ὑπὸ τῆς τῶν βασάνων ἀθρόας προσβολῆς, δεινοτέραν τὴν ὄψιν τῆς ἐνεργείας τοῖς ὁρῶσι παρέχοντες, ποικίλας καὶ διαφόρους ἐν τοῖς σώμασι φέροντες τῶν βασάνων τὰς ἐπινοίας. Τούτων οὕτως ἐχόντων, οἱ μὲν ἐναπέθνησκον ταῖς βασάνοις, τῇ καρτερίᾳ καταισχύναντες τὸν ἀντίπαλον, οἱ δὲ ἡμιθνῆτες ἐν τῷ δεσμωτηρίῳ συγκλειόμενοι, μετ᾽ οὐ πολλὰς ἡμέρας ταῖς ἀλγηδόσι συνεχόμενοι ἐτελειοῦντο, οἱ δὲ λοιποὶ τῆς θεραπείας ἀνακτήσεως τυχόντες τῷ χρόνῳ καὶ τῇ τῆς φυλακῆς διατριβῇ θαρσαλεώτεροι ἐγίγνοντο. Οὕτω γοῦν ἡνίκα προσετέτακτο, αἱρέσεως κειμένης ἢ ἐφαψάμενον τῆς ἐναγοῦς θυσίας ἀνενόχλητον εἶναι τῆς ἐπαράτου ἐλευθερίας παρ᾽ αὐτῶν τυχόντα, ἢ μὴ θύοντα τὴν ἐπὶ θανάτῳ δίκην ἐκδέχεσθαι, οὐδὲν μελλήσαντες ἀσμένως ἐπὶ τὸν θάνατον ἐχώρουν· ᾔδεσαν γὰρ τὰ ὑπὸ τῶν ἱερῶν Γραφῶν ἡμῖν προορισθέντα. Ὁ γὰρ θυσιάζων, φησί, θεοῖς ἑτέροις ἐξολοθρευθήσεται, καὶ ὅτι, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ».

Ἑτέρα ἐπιστολὴ ἐγράφη κατὰ τὸν αὐτὸν χρόνον ὑπὸ τοῦ ἁγίου Φιλέου, ὑπογεγραμμένη ὑπὸ τριῶν ἔτι ἄλλων αἰγυπτίων ἐπισκόπων, πρὸς τὸν Λυκοπόλεως ἐπίσκοπον Μελέτιον, ὃς μυστικῶς καὶ ἐν ἀγνοίᾳ τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας ἁγίου Πέτρου ἐχειροτόνησεν ἱερεῖς δύο φιλοδόξους, ἵνα δι᾽ αὐτῶν ποιήσηται ὑπὲρ ἑαυτοῦ μερίδα ἐν τῇ πόλει ταύτῃ. Τὴν τολμηρὰν ταύτην πρᾶξιν ἔσπευσεν ὁ ἅγιος Ὁμολογητὴς ἐπίσκοπος ἐλέγξαι ἐν τῇ πρὸς Μελέτιον ἐπιστολῇ. Ἡ ὑπόθεσις αὕτη ἐστὶ λίαν σπουδαία διὰ τὴν ἐκκλησιαστικὴν εὐταξίαν [*].

[*] Τὴν ἐπιςολὴν ταύτην μετ᾽ ἄλλων μνημείων τῆς ἐκκλησιαστικῆς ἀρχαιότητος, ἀφορώντων κατ᾽ ἐξοχὴν εἰς τὸ σχίσμα τοῦ Μελετίου, πρῶτος ἐξέδωκεν εἰς φῶς ἐξ ἀρχαίου λατινικοῦ χειρογράφου ὁ περιφανὴς φιλόλογος Σκιπίων Μαφέης. (Osserv. letter. tom. III, pag. 11 — 17. Opusc. eccl. pag. 254 seqq.). « Ὅτι δὲ ἡ ἐπιστολὴ εἶναι γνησία, λέγει ὁ πολυσέβαστος Καθηγητὴς Κοντογόνης, δὲν πρέπει ν᾽ ἀμφιβάλ-

» . . . Νόμος ἐστι τῶν πατέρων καὶ προπατόρων, ὃν οὐδ᾽ αὐτὸς ἀγνοεῖς, κατὰ θείαν τε καὶ ἐκκλησιαστικὴν τάξιν κατασταθεὶς (πάντα γὰρ κατεστάθησαν ὑπ᾽ αὐτῶν κατὰ τὴν θείαν θέλησιν καὶ τὸν πρὸς τὰ κρείττω ζῆλον)· ἐν ἀλλοτρίαις ἐπαρχίαις μηδενὶ τῶν ἐπισκόπων ἐξεῖναι τελεῖν χειροθεσίας. Ὁ νόμος οὗτός ἐστι σοφός, καὶ σοφῶς ἐπιτέτακται. Δεῖ γὰρ τὸ μὲν πρῶτον ἐν πάσῃ ἀκριβείᾳ δοκιμάζειν τήν τε διαγωγὴν καὶ τὸν βίον τῶν χειροθετουμένων, ἔπειτα ἀποβάλλειν πᾶσαν σύγχυσιν καὶ ἀταξίαν. Ὁ ἐπίσκοπος μόλις δύναται διοικεῖν τὴν ἑαυτοῦ ἐπαρχίαν, καὶ μεγάλῃ μερίμνῃ καὶ πολλαῖς διασκέψεσι ἀνευρίσκειν τοὺς λειτουργούς, μεθ᾽ ὧν ἅπαντα τὸν χρόνον τοῦ βίου μέλλει διαγαγεῖν καὶ οἳ ἀνετράφησαν ἐν ταῖς χερσὶν αὐτοῦ. Σὺ δὲ οὐδὲν τούτων ἐν νῷ τιθέμενος, οὔτε τὰ μέλλοντα ὁρῶν, οὔτε τὸν νόμον τῶν μακαρίων ἡμῶν πατέρων καὶ διαδόχων τοῦ Χριστοῦ κατὰ τὸν νόμον τῆς διαδοχῆς, οὔτε τὸ ἀξίωμα τοῦ μεγάλου ἐπισκόπου καὶ πατρὸς ἡμῶν Πέτρου, ἐξ οὗ πάντες τῇ ἐλπίδι, ἣν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν ἔχομεν, ἐξαρτώμεθα, οὐδ᾽ ἐκάμφθης ὑπὸ τῶν ἡμετέρων ἐν φυλακαῖς δοκιμασιῶν καὶ τῶν ποικίλων καὶ διηνεκῶν καταπιέσεων καὶ στενοχωριῶν . . . Ἀλλ᾽ ἴσως ἂν εἴποις· ἐνδεομένου τοῦ ποιμνίου καὶ ἐγκαταλελειμμένου, οὐκ ὄντος ποιμένος, ἵνα μὴ πολλοὶ ὑπὸ τῆς ἀσεβείας παρασυρθῶσιν, ἔπραξα τοῦτο. Ἀλλὰ βεβαιότατόν ἐστιν, ὅτι τὸ ποίμνιον οὐκ εἶχε τοιαύτην ἀνάγκην . . . » (¹).

§ 69. *Γρηγόριος, ὁ Φωτιστὴς τῆς Ἀρμενίας.*

Γρηγόριος ὁ Φωτιστὴς ἐγένετο ὁ πρῶτος ἀρχιεπίσκοπος τῆς Ἀρμενίας. Ἦν υἱὸς Ἀνὰκ ἐκ τοῦ βασιλικοῦ γένους τῶν Ἀρτακιδῶν. Μείνας δ᾽ ὀρφανός, παῖς ἔτι ὤν, ηὐξήθη καὶ ἐξεπαιδεύθη

λωμεν παντάπασι, καθ᾽ ὅσον μάλιστα οἱ τρεῖς συνυπογεγραμμένοι ἐπίσκοποι, ὁ Ἡσύχιος, ὁ Παχώμιος, καὶ ὁ Θεόδωρος, μνημονεύονται καὶ ὑπὸ τοῦ Εὐσεβίου μετὰ τοῦ Φιλέου συμμαρτυρήσαντες. Φιλ. καὶ κριτ. ἱστ. τῶν ἁγ. Πατ. Τ. Ά. σελ· 561. Σ. Μ.

(¹) Ἀμφότεραι αἱ ἐπιστολαὶ τοῦ ἁγίου Φιλέου ἐξεδόθησαν ὑπὸ Γαλλανδίου Bibl. Patr. T. IV. καὶ ὑπὸ Ῥουθίου μετὰ σημειώσεων Reliquiæ, S. 3, 375—400.

χριστιανικῶς ἐν Καισαρείᾳ τῆς Καππαδοκίας. Λαβὼν ἔπειτα ὑπηρεσίαν παρὰ τῷ Τηριδάτῃ, ὃν ἐκάθισεν ἐπὶ τοῦ θρόνου τῆς Ἀρμενίας ὁ Διοκλητιανός, διέπρεπε μὲν τῇ πρὸς τὸν ἡγεμόνα ἀφοσιώσει, ἀλλὰ σύναμα ἐφλέγετο ὑπὸ τοῦ πρὸς τὴν ἀλήθειαν ζήλου. Ἡ Ἀρμενία τότε, οὐ πολλῶν μερῶν ἐξαιρουμένων, ἦν εἰσέτι ἐθνική (1). Ὁ Γρηγόριος ἐκήρυττε μετὰ παρρησίας τὴν ἁγίαν ἀλήθειαν τοῖς τετυφλωμένοις ἐθνικοῖς. Ὁ Τηριδάτης προσέφερε πανηγυρικῶς τῇ Ἀρτέμιδι θυσίας μετὰ τῆς αὐλῆς αὐτοῦ. Μόνος ὁ Γρηγόριος οὐ μετεῖχε ταύτης τῆς ἀσεβείας. « Πιστῶς μὲν ὑπηρετῶ τῷ ἐπιγείῳ βασιλεῖ, ἀλλὰ βούλομαι εἶναι πιστὸς καὶ τῷ ἐπουρανίῳ », ἔλεγε τῷ Τηριδάτῃ. Ὁ βασιλεὺς τῆς Ἀρμενίας, ἐπιθυμῶν εἶναι ταπεινὸς δοῦλος τοῦ Διοκλητιανοῦ καὶ ἀρέσκειν μόνον τῷ ὠμῷ τῶν χριστιανῶν διώκτῃ, ἀκούσας παρὰ τοῦ Γρηγορίου τὴν ὁμολογίαν τῶν χριστιανικῶν ἀληθειῶν, διέταξεν, ἵνα σκληρῶς αὐτὸν βασανίσωσι καὶ ὑβριστικῶς περιαγάγωσι κατὰ τὰς ἀγυιὰς τῆς πόλεως. Τοῦτο ἐπανελήφθη πολλάκις. Μετὰ ταῦτα ἐρρίφθη εἰς λάκκον, ἵνα ἀποθάνῃ τὸν τοῦ λιμοῦ θάνατον. Τέλος τὸ φῶς τῆς ἀληθείας κατέβαλε τὸ σκότος. Ἐκ τῶν χειλέων τοῦ Γρηγορίου ἠκροάσατο ὁ Τηριδάτης μετὰ ταπεινοφροσύνης τοῦ Εὐαγγελικοῦ κηρύγματος, καὶ κατὰ τὴν ἐπιθυμίαν αὐτοῦ προὐχειρίσθη ὑπὸ τοῦ Ἀρχιεπισκόπου Καισαρείας Λεοντίου εἰς ἀρχιεπίσκοπον Ἀρμενίας (2). Τοῦτο συνέβη τῷ 290. Ὁ ἅγιος Γρηγόριος ἱδρύσατο πολλοὺς ναούς, ἐχειροθέτησε πολλοὺς ἐπισκόπους ἐν Ἀρμενίᾳ, καὶ ἐξήπλωσε τὸ φῶς τοῦ Εὐαγγελίου μέχρις αὐτῶν τῶν παρὰ τὴν Κασπίαν θάλασσαν καὶ τὸν Καύκασον οἰκουσῶν ἀγρίων φυλῶν. Ὁ τοῦ ταπεινοῦ Ἰησοῦ πιστὸς μαθητὴς ἐτελεύτησεν ἐν ταπεινῇ ἡσυχίᾳ περὶ τὸ τριακοστὸν πέμτον σωτήριον ἔτος·

(1) Πρῶτοι τοῦ Εὐαγγελίου κήρυκες ἐν Ἀρμενίᾳ ἐγένοντο οἱ Ἀπόστολοι Βαρθολομαῖος καὶ Θαδδαῖος. Ὁ Τερτυλλιανός (τῷ 205) μνημονεύει χριστιανῶν ἐν Ἀρμενίᾳ (adv. Judæos cap. VII.)· ἀλλ' ὁ χριστιανισμὸς ἦν κατὰ τόπους μόνον διαδεδόμενος. Ἐνταῦθα ὑπῆρξαν καὶ μάρτυρες ἐπὶ τοῦ Διοκλητιανοῦ.

(2) Ὁ Καισαρείας ἀρχιεπίσκοπος προὐχείριζε καὶ μετὰ ταῦτα τοὺς ἀρχιεπισκόπους τῆς Ἀρμενίας. Τοῦτο δῆλον ἐκ τῶν ἐπιστολῶν τοῦ μεγάλου Βασιλείου καὶ ρκϐ'.

οἱ δὲ μεταγενέστεροι ἐτίμησαν αὐτὸν ἐπαξίως τῷ ὀνόματι τοῦ Φωτιστοῦ (1).

Ὁ ἄγνωστος συγγραφεὺς τοῦ εἰς τὸν ἅγιον Γρηγόριον ἐγκωμιαστικοῦ λόγου λέγει περὶ αὐτοῦ: « Μετὰ ἐνθέου ζήλου ἐδίδασκε κατὰ τὰς θεοπνεύστους Γραφάς· ἔγραψε σοφὰς ὁμιλίας καὶ ἐδίδαξε λίαν πολλοὺς λαούς» . Αἱ νῦν γνωσταὶ ἐν τῇ ἀρμενικῇ γλώσσῃ 22 ὁμιλίαι Γρηγορίου τοῦ Φωτιστοῦ καὶ ἡ διὰ τὸν βασιλέα τῆς Ἀρμενίας ἔκθεσις τῆς πίστεως, κατὰ δυστυχίαν οὔπω ἐξεδόθησαν.

§ 70. *Ὁ ἅγιος Πάμφιλος ὁ μάρτυς.*

Πάμφιλος, ὁ Καισαρείας τῆς ἐν Παλαιστίνῃ πρεσβύτερος, ἐπίσημος τὸ γένος, τὸν πλοῦτον τῶν γνώσεων, τὴν ἐκπαίδευσιν, καὶ τέλος τὴν πνευματικὴν πτωχίαν καὶ τὸν μαρτυρικὸν θάνατον, ἔλαβε τὴν πρώτην ἐκπαίδευσιν ἐν Βηρυτῷ τῆς Φοινίκης, ἔνθα καὶ ἐγεννήθη (2). Ὀλιγωρήσας ἐκ παίδων τῶν κοσμικῶν ἐλπίδων, μετέβη εἰς Ἀλεξάνδρειαν, ἔνθα ἔσχε διδάσκαλον ἐν τῇ σπουδῇ τῶν ἁγίων Γραφῶν τὸν πρεσβύτερον τῆς Ἐκκλησίας ἐκείνης Πιέριον, προεστηκότα τοῦ ἐκεῖ διδασκαλείου (3). Ἐπανελθὼν εἰς Παλαιστίνην, προὐχειρίσθη πρεσβύτερος, καὶ ἠσχολήθη περὶ ἐπιστημονικὰ ἔργα πρὸς ὄφελος τῶν ἄλλων (4). Καθίδρυσεν ἐν Καισαρείᾳ βιβλιοθήκην, ἣν ἐπλούτι-

---

(1) Τὸν βίον αὐτοῦ συνέγραψε ἐν ἐκτάσει ὁ τοῦ Τηριδάτου γραμματεὺς Ἀγαθάγγελος, — ἑλλην. ιή. Act SS. ad 30 Sept. καὶ ὁ Μωϋσῆς Κορένσκιος Histor. Arm. Ven. 1805.

(2) Act. Martyr. ap. Fabricium § 3. 7. (Op. S. Hippolyti) ap. Galland. Bibl. Patr. t. IV. in Act. 33. Iunii T. I. pag. 64.

(3) φώτ. βιβλιοθ. ἀνάγν. ριή. « Ἦν δὲ Παμφίλου διδάσκαλος ὁ Πιέριος τοῦ ἐν Ἀλεξανδρείᾳ καὶ αὐτὸς προεστηκὼς διδασκαλείου». Act. Martyr. § 2.

(4) Εὐσέβ. Ἐκκλ. ἱστορ. ζ΄. 32. «Κατὰ τοῦτον ἐλλογιμώτατον αὐτῷ τε βίῳ φιλόσοφον ἀληθῆ, πρεσβείου τῆς αὐτόθι παροικίας ἠξιωμένον, Πάμφιλον ἔγνωμεν, ὅν, ὁποῖός τις ἦν καὶ ὁπόθεν ὁρμώμενος, οὐ σμικρᾶς ἂν γένοιτο δηλοῦν ὑποθέσεως· ἕκαστα δὲ τοῦ κατ᾽ αὐτὸν βίου καὶ ἧς συνεστήσατο διατριβῆς, τούς τε κατὰ τὸν διωγμὸν ἐν διαφόροις ὁμολογίαις ἀγῶνας αὐτοῦ, καὶ ὃν ἐπὶ πᾶσιν ἀνεδήσατο τοῦ μαρτυρίου στέφανον, ἐν ἰδίᾳ τῇ περὶ αὐτοῦ διειλήφαμεν ὑποθέσει» . — Εὐσέβ. σύγγραμμ. περὶ

σε, πανταχόθεν συναγαγὼν ἐν αὐτῇ πλεῖστα τε καὶ κάλλιστα συγγράμματα τῶν Πατέρων, ἃ ἐν μέρει μὲν ἀντέγραφεν αὐτός, ἐν μέρει δὲ ἐκτᾶτο πανταχόθεν. Τὰ δὲ χειρόγραφα αὐτοῦ ἦσαν οὕτω πολύτιμα, ὥςτε ὁ Ἱερώνυμος, ἑνὸς τούτων τυχὼν—τῆς εἰς τοὺς δώδεκα προφήτας ἑρμηνείας τοῦ Ὠριγένους—ἡγήσατο ἑαυτὸν Κροίσου εὐτυχέστερον ([1]). Διαδιδοὺς μετὰ ζήλου τὴν χριστιανικὴν ἐκπαίδευσιν, ἀνέδειξε μάρτυρας, οἷος ἦν ὁ Ἐδέσσιος, ὑψηλῇ παιδεύσει καὶ πο-

τῶν κατ' αὐτὸν μαρτυρησάντων, κεφ. II. « . . . . ὧν ὁ κορυφαῖος καὶ τῇ τοῦ κατὰ Καισάρειαν πρεσβείου τιμῇ κεκοσμημένος μόνος ἐτύγχανεν ὁ Πάμφιλος, ἀνὴρ καὶ παρ' ὅλον αὐτοῦ τὸν βίον πάσῃ διαπρέψας ἀρετῇ, ἀποτάξει καὶ καταφρονήσει βίου, τῇ τῆς οὐσίας εἰς ἐνδεεῖς κοινωνίᾳ, κοσμικῶν ἐλπίδων ὀλιγωρίᾳ, φιλοσόφῳ πολιτείᾳ καὶ ἀσκήσει· μάλιστα δὲ παρὰ τοὺς καθ' ἡμᾶς πάντας διέπρεπε τῇ περὶ τὰ θεῖα λόγια γνησιωτάτῃ σπουδῇ, ἀτρύτῳ τε περὶ ἃ προὔθετο φιλοπονίᾳ, καὶ τῇ περὶ τοὺς προσήκοντας καὶ πάντας τοὺς αὐτῷ πλησιάζοντας ὠφελείᾳ· οὗ τὰ λοιπὰ τῆς ἀρετῆς κατορθώματα, μακροτέρας ὄντα διηγήσεως, ἐπ' ἰδίας τῆς τοῦ κατ' αὐτὸν ὑποθέσεως βίου γραφῆς ἐν τρισὶν ἤδη πρότερον ὑπομνήμασι παραδεδώκαμεν».

([1]) Hiersn. de vir. illustr. c. 75: « Pamphilus presbyter, Eusebii Cæsariensis neccessarius, tanto bibliothecæ divinæ amore flagavit, et maximam partem Origenis voluminum sua manu descripserit, quæ usque hodie in Cæsariensi bibliothecæ hapentur . Sed et in duodecim prophetas viginti quinque ἐξηγήσεων Origenis volumina manu ejus exarata reperi, quæ tanto amplector et servo gaudio, ut Croesi opes habere me credam. Si enim laetitia ect, unam epistolam habere martyris, quanto magis tot milia versuum, perquæ mihi videtur sui sanquinis signasse vestigia». Ep. XXXIV ad Marcell. « Beatus Pamphilus martyr, cujus vitam Eusebius Cæsariensis tribus ferme voluminibus explicavit, cum Demetrium Phalereum et Pisistratum in sacræ bibliothecæ studio vellet æquare, imagines que ingeniorum que vera sunt et aeterna monumenta , toto orbe perquireret, tunc vel maxime Origenis libros impensius prosecutum, Cæsariensi Ecclesiæ dedicavit ? quam ex parte corruptam Acacius dehinc et Euzoius ejusdem Ecclesiæ sacerdotes in menbranis instaurare conati sunt».

λιτείᾳ διαπρέψας ([1]). Τὴν εἰς τὸν Κύριον πίστιν αὐτοῦ ἐδείκνυ δι᾽ἰδίων ἔργων εὐσπλαγχνίας ἐς τοσοῦτον, ὥςτε διένειμε τοῖς πτωχοῖς ἅπασαν τὴν ἑαυτοῦ περιουσίαν ([2]), ἡγούμενος τὸν πλοῦτον τοῦ πνεύματος ἀνώτερον τῶν ἐπιγείων ἀγαθῶν· ἠγόραζε καὶ ἀντέγραφε χειρόγραφα, ἵνα ἐπαρκῇ τοῖς δεομένοις ([3]). Καθόλου ἔζησεν ὡς χριστιανὸς φιλόσοφος ([4]). — Τῷ 307 συνελήφθη διὰ τὸ ὄνομα τοῦ Χριστοῦ ὑπὸ τοῦ ἐπάρχου Οὐρβανοῦ, ὑπέστη φρικτὰς βασάνους, καὶ μετὰ ταῦτα καθείρχθη ἐν δεσμωτηρίῳ, ἔνθα διετίαν ὅλην ἐκρατεῖτο μέχρι τοῦ μαρτυρικοῦ αὐτοῦ θανάτου ([5]).

Ὁ μακάριος Ἱερώνυμος γράφει, ὅτι ὁ ἅγιος Πάμφιλος ἐκ μετριοφροσύνης οὐδὲν ἔγραψεν ἐκτὸς ἐπιστολῶν ([6]). Οἱ λόγοι τοῦ Ἱερωνύμου ὄντες πληρέστατα ὀρθοὶ ὡς πρὸς τὸ πνεῦμα τοῦ Παμφίλου, ὀρθοί εἰσι καὶ κατὰ τοῦτο, ὅτι ὁ θεῖος πατὴρ ἠδύνατο γράψαι πλείω, ὧν ἔγραψεν. Ἀλλ᾽ ἐκτὸς τῶν ἐπιστολῶν ἐξεπόνησε καὶ ἄλλα πονήματα.

([1]) Acten d. heil. Martyrer d. Morgenlands aus dem Syrisch. überset, von Singerle T. 2. S. 162.

([2]) Εὐσέβ. περὶ τῶν κατ᾽ αὐτὸν μαρτυρησάντων, κεφ. 11.

([3]) Hieron adv. Rufin. l. I. c. IX. T. II. pag. 465.

([4]) Εὐσέβ. Ἐκκλ. ἱστορ. ζ΄. 32. Act. Martyr. c. VIII.

([5]) Εὐσέβ. Ἐκκλ. ἱστορ. ζ΄. 32. σύγγραμμ. περὶ τῶν κατ᾽ αὐτὸν μαρμαρτυρησ. κεφ. 7. «... ἐν οἷς καὶ ὁ πάντων ἐμοὶ γοῦν ποθεινότατος ἑταίρων Πάμφιλος ἦν, τῶν καθ ἡμᾶς μαρτύρων ἀνὴρ πάσης ἕνεκεν ἀρετῆς ἐπιδοξότατος. Τούτου ἐν τοῖς ῥητορικῆς λόγοις φιλοσόφοις τε μαθήμασιν ἀπόπειραν πρότερον ὁ Οὐρβανὸς λαβών, εἶθ᾽ ὕστερον θύειν καταναγκάσας, ὡς ἀνανεύοντα καὶ μηδ᾽ ὅλως ἐν λόγῳ τὰς ἀπειλὰς ἑώρα τιθέμενον, τὸ πανύστατον ἀγριάνας, σφοδροτέραις αὐτῶν αἰκίζεσθαι προστάττει βασάνοις. Καὶ δὴ ταῖς κατὰ τῶν πλευρῶν αὐτοῦ δι᾽ ἐπιμόνων καὶ φιλονείκων ξυστήρων ὁ θηριωδέστατος μονονουχὶ ἐμφορηθείς, αἰσχύνην γε μὴν ἐπὶ πᾶσι καταχεάμενος, τοῖς ἐν τῷ δεσμωτηρίῳ καὶ αὐτὸν ὁμολογηταῖς καταλέγει». Hieron. de vir. illustr. c. 75.: «Passus est Palæstinæ sub. persecutione Maximini». Ἡ μνήμη τοῦ ἁγίου Παμφίλου τελεῖται τῇ ις΄. Φεβρουαρίου.

([6]) Ipse vero proprii operis nihil. omnino scripsit, exeptis epistolis, quas ad amicos forte mittebat: in tantum se humilitate dejecerat». Lib. I. Apol. contr. Rufinnum, Opp. Tom. II. pag. 465.

τοτε ἡ ἔκθεσις αὕτη κατέστη κοινή, οὐκ ὀρθῶς ἔσθ' ὅτε φέρουσα τὸ ὄνομα πονήματος τοῦ Εὐθαλίου (1).

2] Ὁ ἅγιος Πάμφιλος, ἐν τῷ δεσμωτηρίῳ κρατούμενος, ἔγραψεν Ἀπολογίαν ὑπὲρ τοῦ Ὠριγένους, ὡς γράφουσιν ὁ Εὐσέβιος, ὁ Σωκράτης, ὁ Φώτιος, καὶ ἄλλοι (2). Αὐτὸς ὁ Εὐσέβιος ἦν αὐτόπτης τοῦ πονήματος τούτου, καὶ μετὰ ταῦτα συνεπλήρωσε τὰ πέντε βιβλία δι' ἕκτου (3). Τὸ αὐτὸ ἔγραψε τὸ πρῶτον ὁ Ἱερώνυμος (4), ἀλλ' ἔπειτα ἐν τῇ πρὸς Ρουφῖνον σφοδρᾷ ἔριδι περὶ τοῦ Ὠριγένους ἐπεχείρησεν ἀνασκευάσαι ταύτην τὴν γνώμην, ἀλλ' ἄνευ ἱστορικῶν ἀποδείξεων, καὶ διὰ τούτου οὐκ ἐξησθένισεν, ἀλλ' ἀπ' ἐναντίας ἐκράτυνε τὴν ἱστορικὴν ἀλήθειαν (5).

Τὸ σύγγραμμα ἐγράφη ἐν εἴδει ἐπιστολῶν πρὸς τοὺς ὁμολογητὰς τῆς Παλαιστίνης, τοὺς ἐν μεταλλείοις καταδεδικασμένους. Ἐν τῷ μέχρις ἡμῶν ἀφικομένῳ πρώτῳ βιβλίῳ, μετὰ τὴν ἐπιστολὴν καὶ τὴν γενικὴν σημείωσιν περὶ τῆς ὠριγενείου διδασκαλίας, ἐκτίθεται ἡ διδασκαλία τοῦ Ὠριγένους α΄] περὶ τῆς Θεολογίας, καὶ ἰδίως ἡ θέσις αὐτοῦ: ὅτι πᾶν τὸ μὴ συμφωνοῦν τῇ ὑπὸ τῶν Ἀποστόλων

---

(1) Ἐξεδόθη ὑπὸ Μοντφαουκονίου bibl. Coisl. p. 72. ὑπὸ Φαβρικίου Opp. S. Hippol. T. 2. p. 209—217, ὑπὸ Γαλλανδίου Bib. Patr. T. IV. καὶ ὑπὸ Κραμέρου Caten. in Act. Apostol. Oxon. 1838.

(2) Εὐσέβ. Ἐκκλ. ἱστόρ. ς΄. 33. Σωκρ. Ἐκκλ. ἱστορ. 1. 14. πρβλ. σημ. 16.

(3) Φώτ. βιβλιοθ. ἀνάγν. ριή. «Ἀνεγνώσθη Παμφίλου τοῦ μάρτυρος καὶ Εὐσεβίου ὑπὲρ Ὠριγένους· τόμοι δὲ τὸ βιβλίον ἕξ, ὧν οἱ μὲν πέντε Παμφίλῳ, τὸ δεσμωτήριον οἰκοῦντι, συμπαρόντος Εὐσεβίου, ἐξεπονήθησαν· ὁ δὲ ἕκτος, ἐπεὶ ὁ μάρτυς ξίφει τοῦ ζῆν ἀπαχθείς, ἀνέλυσε πρὸς ὃν ἐπόθει Θεόν, Εὐσεβίῳ λοιπὸν ἀπαρτίζεται». Τὸ αὐτὸ λέγει περὶ τοῦ συγγράμματος τούτου ὁ ἄγνωστος ἀπολογητὴς τοῦ Ὠριγένους παρὰ Φωτ. ἀνάγν. ριζ΄.

(4) De vir. illustr. c. 75. «Scripsit. (Pamphilus) antequam Eusebius Cæsariensis, Apologeticum pro Origene.

(5) Lib. II. adv. Rufin. C. IV. Tom. 2. pag. 541. «Solum Rufinum sub martyris nomine edidisse. Ἴδ. Ρουαῖον, ἔνθα ἀναφέρονται καὶ ἀναλύονται αἱ ἀντιφάσεις τοῦ Ἱερωνύμου. De la Rue Opp. Origen. T. IV. P. II. pag. 7—13.

τῇ Ἐκκλησίᾳ παραδοθείσῃ διδασκαλίᾳ, οὐκ ἔστιν ἀληθές· 6΄] περὶ τοῦ Θεοῦ Πατρός· γ΄] περὶ τῆς Θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ· δ΄] περὶ τοῦ ἁγίου Πνεύματος· ε΄] περὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ· ς΄] περὶ τῆς ἱστορικῆς ἐννοίας τῆς Γραφῆς· ζ΄] περὶ ἀναστάσεως· η΄] περὶ τῶν ἀποκειμένων τοῖς ἁμαρτωλοῖς κολάσεων· θ΄] περὶ ψυχῆς· ι΄] περὶ ἀλλοιώσεως τῶν ψυχῶν. Προανατάξας τοὺς λόγους τοῦ Ὠριγένους ὁ ἅγιος Πάμφιλος, προστίθησι καὶ ἰδίας κρίσεις. Ἐκ τῶν ἄλλων βιβλίων τοῦ συγγράμματος τούτου περιεσώθη μόνον ἡ ἐκλογὴ τοῦ Φωτίου (1).

3] Τέλος οὐ πρὸ πολλοῦ ἐξεδόθη ἐκλογὴ τοῦ ἁγίου μάρτυρος Παμφίλου ἐκ τῆς ἐν Ἀντιοχείᾳ τῶν Ἀποστόλων συνόδου (2), πόνημα σημαντικὸν διὰ τὴν ἱστορίαν τῆς ἐκκλησιαστικῆς εὐταξίας.

§ 71. *Ὁ ἅγιος Λουκιανὸς ὁ μάρτυς· ἀγῶνες τοῦ βίου αὐτοῦ.*

Καθ' ὃν χρόνον ἡ Ἐκκλησία τῆς Καισαρείας ἐκοσμεῖτο ὑπὸ τοῦ ἁγίου Παμφίλου, ἐκόσμει τὴν τῆς Ἀντιοχείας ὁ πρεσβύτερος αὐτῆς ἅγιος Λουκιανός.

---

(1) Τὸ πρῶτον βιβλίον ἐν τῇ λατινικῇ μεταφράσει τοῦ Ῥουφίνου ἐξεδόθη ὑπὸ Ῥουαίου Opp. Origen. T. 4., ὑπὸ τοῦ Ῥουθίου Reliquiæ Sacr. T. 4. pag. 289. 342. T. 3. pag. 259—279. καὶ ὑπὸ Γαλλανδίου Bibl. Patr. T. 3.

(2) Ἐξεδόθη ὑπὸ τοῦ Βίκκελεν Geschichte d. Kirchenrechts. Giessen 1843 (138—149). «Τοῦ ἁγίου ἱερομάρτυρος Παμφίλου ἐκ τῆς ἐν Ἀντιοχείᾳ τῶν Ἀποστόλων συνόδου, τουτέστιν ἐκ τῶν συνοδικῶν αὐτῶν κανόνων μέρος τῶν ὑπ' αὐτοῦ εὑρεθέντων εἰς τὴν Ὠριγένους βιβλιοθήκην». Σύνοδος ἐνταῦθα ἐννοεῖται ἐκείνη, περὶ ἧς γίγνεται λόγος ἐν ταῖς Πράξ. ιά. 26. πρβλ. πρὸς Γαλ. 6. 11. — Ἅπαντες οἱ κανόνες εἰσὶν 9. Τούτων ὁ τέταρτος ἀναφέρεται ἐν τῇ δευτέρᾳ κατὰ Νίκαιαν συνόδῳ (ap. Mans. Act. T. 12. p. 1018). Πάντη ματαίως λέγει ὁ Βίκκελεν, ὅτι ἠγνόει αὐτοὺς ὁ Ὠριγένης, οὐ γινομένου λόγου περὶ αὐτῶν ἐν τοῖς νῦν γνωστοῖς συγγράμμασι αὐτοῦ. Ἡ σιωπὴ ἐπίσης τῶν ἄλλων ἀρχαίων διδασκάλων δείκνυσι μόνον, ὅτι οἱ κανόνες οὗτοι ἐγράφησαν ἐκ μνήμης μετὰ προσαρμογῆς τῶν Πράξ. ιά. 26. πρβλ. Γαλ. 6, 11, καὶ κατὰ τοὺς πρώτους αἰῶνας οὐκ ἐδίδετο ἀφορμή, δι' ἣν ἠδύνατο γίγνεσθαι μνεία αὐτῶν.

Ὢν υἱὸς εὐγενῶν γονέων ἐκ Σαμοσάτων, ἐξεπαιδεύθη κατὰ τὴν καταγωγὴν αὐτοῦ, καὶ παρασκευάσθη εἰς κοσμικὸν στάδιον. Ἀλλὰ μετὰ τὸν θάνατον τῶν ἑαυτοῦ γεννητόρων, διανείμας τοῖς ἐνδεέσι τὴν ἰδίαν περιουσίαν, ἀπῆλθε πρὸς τὸν ὁμολογητὴν Μακάριον εἰς Ἔδεσσαν, ἔνθα ἠκροάσατο τῶν ἐν τῇ ἑρμηνείᾳ τῆς ἁγίας Γραφῆς διδασκαλιῶν αὐτοῦ([1]).Διῆγε δὲ βίον ἀσκητικώτατον. Προχειρισθεὶς πρεσβύτερος Ἀντιοχείας,καθίδρυσεν ἐν τῇ πόλει ταύτῃ διδασκαλεῖον· ἐκήρυττε μετὰ ζήλου καὶ ἐπιτυχίας τὸ ὄνομα τοῦ Χριστοῦ τοῖς τε Ἰουδαίοις καὶ τοῖς ἐθνικοῖς. «Ἐν τῇ μελέτῃ τῶν θείων Γραφῶν ἐσχόλαζε. διὸ καὶ πολλοὺς Ἰουδαίους καὶ Ἕλληνας πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν» ([2]). Περὶ τὰς ἀρχὰς τοῦ διοκλητιανείου διωγμοῦ (τῷ 303) ἦν ἐν Νικομηδείᾳ ἐν τοῖς ὁμολογηταῖς τῆς πίστεως, καὶ ἀνήγγειλε τῇ Ἐκκλησίᾳ τῆς Ἀντιοχείας τὸν μαρτυρικὸν θάνατον τοῦ Ἐπισκόπου Νικομηδείας ἁγίου Ἀνθίμου ([3]). Ἐπανελθὼν εἰς Ἀντιόχειαν τῷ 311, συνελήφθη καὶ ἀπήχθη εἰς Νικομήδειαν, ἔνθα διέτριβε τότε ὁ Αὐτοκράτωρ Μαξιμινιανός, ὁπότε ἐπιδοὺς τῷ ἄρχοντι Ἀπολογίαν τῆς ἧς προΐστατο διδασκαλίας ([4]), παρεδόθη δεσμωτηρίῳ, ἵνα ἀποθάνῃ τὸν τοῦ λιμοῦ θάνατον. Ὁ λιμὸς κατέθλιβεν αὐτόν, ἀλλὰ ματαίως ἐδίδοσαν αὐτῷ οἱ ἐθνικοὶ τροφήν. τηνάλλως ἐβασάνιζον αὐτόν, εἰς ἁπάσας τὰς ἐρωτήσεις μία ἦν ἡ ἀπόκρισις αὐ-

---

([1]) Ἀρχαία διήγησις in Act. Sanct. ad 7 Iann. pag. 75, ad 18 Iann. p. 358. Εὐσέβ. Ἐκκλ. ἱστορ. Θ, 6. Σωζόμ. Ἐκκλ. γ'. 5. Χρυσόστ. ὁμιλ. εἰς τὸν ἅγ. Λουκιανὸν Τ. 2. σελ. 526.

([2]) Μην. ιέ. Ὀκτωβρ. Hieron de vir illustr. c. 77. Εὐσέβ. Ἐκκλ. ἱστορ. Θ, 6.

([3]) Χρόν Ἀλεξανδρ. σελ. 277.

([4]) Εὐσέβ. Ἐκκλ. ἱστορ. ή. 13. « Τῶν δὲ ἐπ' Ἀντιοχείας μαρτύρων τὸν πάντα βίον ἄριστος πρεσβύτερος τῆς αὐτόθι παροικίας Λουκιανός, ἐν τῇ Νικομηδείᾳ καὶ αὐτός, βασιλέως ἐπιπαρόντος, τὴν οὐράνιον τοῦ Χριστοῦ βασιλείαν λόγῳ πρότερον δι' ἀπολογίας, εἶτα δὲ καὶ ἔργοις ἀνακηρύξας ». Θ'. 6. « Λουκιανός τε ἀνὴρ τὰ πάντα ἄριστος, βίῳ τε ἐγκρατὴς καὶ τοῖς ἱεροῖς μαθήμασι συγκεκροτημένος, τῆς κατ' Ἀντιόχειαν παροικίας πρεσβύτερος, ἀχθεὶς ἐπὶ τῆς Νικομηδέων πόλεως, ἔνθα τηνικαῦτα βασιλεὺς διατρίβων ἐτύγχανε παρασχών τε ἐπὶ τοῦ ἄρχοντος τὴν ὑπὲρ ἧς προΐστατο διδασκαλίας ἀπολογίαν, δεσμωτηρίῳ παραδοθεὶς κτίννυται ». Ρουφ. Ἐκκλ. ἱστορ. Θ, 6.

τοῦ: Χριστιανός εἰμι (¹). Καταβεβαρυμένος ὑπὸ τῶν δεσμῶν , καταβεβλημένος ὑπὸ τοῦ λιμοῦ, ἔκειτο ὕπτιος ἐν τῷ δεσμωτηρίῳ, οὐδοπωστιοῦν κινηθῆναι δυνάμενος. Οἱ τῶν παθημάτων αὐτοῦ συγκοινωνοὶ ἐπεθύμουν συμμετασχεῖν αὐτῷ τὸ τελευταῖον τῆς Μυστικῆς τραπέζης κατὰ τὴν προσεγγίζουσαν ἑορτὴν τῶν Θεοφανίων. Ὁ παρασκευασάμενος θῦσαι ἑαυτὸν τῷ Κυρίῳ, ἐτελέσατο τὴν φρικτὴν θυσίαν ἐπὶ τοῦ ἰδίου στήθους, καὶ κατὰ τὴν ὑπ' αὐτοῦ ὁρισθεῖσαν ἡμέραν ἀνεδήσατο τὸν στέφανον τοῦ μαρτυρίου (²). (*).

(¹) Χρυσόστ. λόγ. εἰς τὸν ἅγιον Λουκιανόν. Τ. 2. σελ. 528.

(²) Φιλοστρόγ. Ἐκκλ. ἱστορ. β', 13. Ὁ θεῖος Χρυσόστομος λέγει: « Χθὲς μὲν οὖν ὁ Δεσπότης ἡμῶν ὕδατι ἐβαπτίσατο, σήμερον δὲ δοῦλος αἵματι βαπτίζεται». Οἱ λόγοι οὗτοι ἀφ' ἑνὸς μὲν ἐπιβεβαιοῦσι τὴν διήγησιν τοῦ Φιλοστοργίου, ἀφ' ἑτέρου δὲ μαρτυροῦσιν, ὅτι ἐπὶ τοῦ Χρυσοστόμου ἑωρτάζετο ἡ μνήμη τοῦ ἁγίου Λουκιανοῦ τῇ ζ'. Ἰανουαρίου, ὡς γίνεται μέχρι τοῦ δεῦρο κατὰ τὸ ῥωμαϊκὸν μαρτυρολόγιον. Ἐν δὲ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ μετηνέχθη κατόπιν τῇ ιε'. Ὀκτωβρίου, ὁρισθείσης τῆς ζ'. Ἰανουαρίου διὰ τὴν σύναξιν τοῦ τιμίου Προδρόμου.

(*) Ὁ ἀείμνηστος Οἰκονόμος λέγει (ἐν τῷ Δ'. τόμ. περὶ τῶν Ο, ἑρμηνευτῶν, σελ. 498—9), ὅτι « οἱ Ἀρειανοὶ παρωνόμαζον ἑαυτοὺς καὶ *Λουκιανιστάς*, καὶ ἀλλήλους, *Συλλουκιανιστάς*, [βλ. Θεοδωρ. Ἐκκλ. ἱστορ. Α, δ), ὡς ἀπό τινος ἐνδόξου Λουκιανοῦ, φρονήσαντος τὰ τοῦ Σαμοσατέως Παύλου, τοῦ μετὰ τὸν Ἐβίωνα πρώτου διδασκάλου τῆς Ἀρείου μανίας. Ἀλλ' ἄδηλον τίς ἦν οὗτος ὁ Λουκιανός· τοῦτον δὲ τὸν ἁγιώτατον πρεσβύτερον τῆς Ἀντιοχείας οὐδεὶς τῶν ἱερῶν Πατέρων συγκατηρίθμησε τοῖς ἀρνησιχρίστοις. Καὶ λέγει μὲν ἡ τοῦ θεσπεσίου Ἀλεξάνδρου τοῦ Ἀλεξανδρείας ἀνωτέρω μνημονευθεῖσα ἐπιστολὴ Λουκιανόν τινα « διαδεξάμενον τὰ τοῦ Σαμοσατέως, ὃς καὶ ἀποσυνάγωγος ἔμεινε τριῶν ἐπισκόπων πολυετεῖς χρόνους» · ἀλλὰ καὶ ὧδε μένει ἀδιόριστον, εἰ οὗτος ἦν ὁ Λουκιανός. Κἂν δὲ τοῦτο τεθῇ, πάλιν ἐξ αὐτῆς συνάγεται τῆς ἐπιστολῆς, καὶ ἐκ τοῦ μακαρίου δὲ τέλους ὁ ἱερόνικος Λουκιανὸς τρανώτατα δείκνυται, ὅτι ὑπέστρεψε πάλιν εἰς τοὺς κόλπους τῆς Ἐκκλησίας πολὺ πρὸ τοῦ μαρτυρίου, ὁπότε « βασιλέως ἐπιπαρόντος (τοῦ Μαξιμίνου), τὴν οὐράνιον τοῦ Χριστοῦ βασιλείαν καὶ λόγῳ καὶ ἔργῳ ἀνεκήρυξε » (Εὐσέβ. Ἐκκλ. ἱστορ. η'. 13. Θ, 6. Σωζομ. γ'. 5. Σουΐδ. λ'. Λουκιανός). Σ. Μ.